ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΤΟΜΟΣ ΙΓ'. — 30 Ἰουνίου 1916. — ΤΕΥΧΟΣ Β'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

# ΒΗΣΣΑΡΙΩΝΟΣ
# ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΡΑΠΕΖΟΥΝΤΑ

Ἐν τῷ κώδικι 533 τῆς Μαρκιανῆς βιβλιοθήκης, γεγραμμένῳ τὸν δέκατον πέμπτον αἰῶνα ἰδίᾳ χειρὶ τοῦ Βησσαρίωνος, περιλαμβάνεται ἐν φ. $131^6$ - $165^6$ ἐγκώμιον, φέρον ἐπιγραφὴν «Εἰς Τραπεζοῦντα» καὶ γεγραμμένον πιθανῶς πρὸ τῆς εἰς τὴν Ἰταλίαν χάριν ἑνώσεως τῶν ἐκκλησιῶν μεταβάσεως τοῦ μεγάλου Τραπεζουντίου. Τοῦ Ἐγκωμίου τούτου εἶχε γνῶσιν ὁ Fallmerayer ἐν τῇ Ἱστορίᾳ τῆς αὐτοκρατορίας τῆς Τραπεζοῦντος, ὡς ἀποδεικνύεται ἔκ τινων αὐτῆς χωρίων[1], ἀλλ' οὔτε αὐτὸς ἐπωφελήθη τελείως τὸ ἔργον τοῦ Βησσαρίωνος, οὔτε ἄλλος τις μετ' αὐτὸν ἐξέδωκε. Διὸ ἐκρίναμεν ἀναγκαίαν τὴν ἔκδοσιν αὐτοῦ ἐκ τοῦ κώδικος ἐκείνου. Καὶ περιλαμβάνεται μὲν τὸ αὐτὸ ἐγκώμιον καὶ ἐν τῷ Μαδριτείῳ κώδικι LXXVIII φ. 92 κ. ἑ., γεγραμμένῳ τὸν δέκατον πέμπτον αἰῶνα μεσοῦντα[2], ἀλλ' ἐπειδὴ ὁ Μαρκιανὸς εἶνε αὐτόγραφος, ἐθεωρήσαμεν ὅλως περιττὴν τὴν ἀντιβολὴν τοῦ τῆς Μαδρίτης.

[1] *Fallmerayer* Geschichte des Kaiserthums von Trapezunt. Ἐν Μονάχῳ 1827, σ. 302, 307 κ. ἑ. 309 σημ. *, 310, 316, 318 σημ. *, 327, 335 σημ. *. **Τοῦ αὐτοῦ** Original-Fragmente κτλ. ἐν ταῖς Abhandlungen der III Cl. d. Ak. d. Wiss. (Μονάχου) Τόμ. Γ' μέρ. γ' σ. 130 κ. ἑ.

[2] *Iriarte* Regiae bibliothecae Matritensis codices graeci manuscripti. Ἐν Μαδρίτῃ. 1769 σ. 287, 288.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Βησσαρίωνος Εἰς Τραπεζοῦντα.

Ἀπάρχεσθαι μὲν τῶν αὐτοῖς τιμιωτάτων ἑκάστους καὶ πατράσι καὶ ἄρχουσι καὶ τοῖς ὁτουοῦν ἄλλως ἀγαθοῦ σφίσιν ὑπάρξασι νενόμισταί γε καὶ πάνυ δικαίως· δεῖ γὰρ, ἄνθρωπον ὄντα, τὸ μόνον τῶν ζῴων ἐλεύθερον καὶ φιλότιμον καὶ φιλόδωρον, μὴ μόνον εὖ πάσχειν, ἀλλὰ καὶ ἀντευποιεῖν ἐν τῷ μέρει, καὶ πρός γε τοῦ πλέον τι δυναμένου νικώμενον τῷ φθάσαι παρασχεῖν ἂν ἐκεῖνον, τοῖς ἀμοιβαίοις γοῦν καὶ δευτέροις αὐτὸν μὴ ὑστερῆσαι, μηδὲ χείρω καὶ κατὰ τοῦτο φανῆναι, οὐδὲ τὰς δυνατάς οἱ χάριτας ἐκτιννύντα καὶ οἷς ἂν ἐνδείξαιτο πρὸς ἀξίαν εὐηργετημένος καὶ πεπονθὼς τἀγαθά. Τοσούτῳ δὲ δικαιότερον πατρίδα τιμᾶν καὶ τὴν ἐνεγκαμένην ἀσπάζεσθαι καὶ ταύτην οἷς ἄν τις ἔχοι δωρεῖσθαι, ὅσῳ γῆ μὲν καὶ πατέρων πατήρ, ταύτης δὲ μὴ φερούσης τὰ παρ' αὐτῆς, οὔτ' ἂν ἄρχοντες ἢ ὧν ἂν ἄρξαιεν εἶχον, οὐκ ὄντων οἷς ἂν τρέφοιτο τὸ ἀρχόμενον καὶ ὅλως συνίσταιτο ἢ οἷς εὖ ἐποίουν τοὺς ὑπὸ χεῖρα, μὴ οὔσης ἑτέρωθεν εὐπορίας, οὔτ' ἂν ὅπως ἢ ὅτων ἐγίγνοντ' ἂν οἱ τεκόντες πατέρες, μᾶλλον δ' οὐδ' ἂν αὐτοὶ πρῶτον οἱ μὲν οὐθ' ὅλως ἦσαν μὴ ὅτι γ' ἑτέρων πατέρες, οἱ δ' οὐδὲ ἄρχοντες. Ἐοίκασι γοῦν οἱ μὲν διδόναι λαμβάνοντες, ἡ δὲ μόνον διδόναι καὶ μόνη προῖκα τὰ παρὰ τῶν οἰκείων χαρίτων εἰσφέρειν τῷ γένει, οὔτ' οὐδενὸς αὐτῇ προϋπάρξαντι, οὔτ' ἂν μετὰ ταῦτα δεομένῃ διδομένου, ὥστ' οὐχ ὧν εὖ ὑπ' αὐτῆς πάσχομεν μόνον, ἀλλὰ καὶ ὧν πατέρες φιλοτιμοῦνται καὶ χαρίζονται βασιλεῖς καὶ φίλοι φίλοις δωροῦνται τὴν αἰτίαν φέροιτ' ἂν μόνη δικαίως καὶ τὰς παρὰ πάντων εὐφημίας καὶ χάριτας δέχοιτο. Οὕτω μετὰ παντὸς τοῦ δικαίου καὶ γιγνομένου καὶ πολλῆς τῆς ἀνάγκης ἀπάρχοιτ' ἄν τις τῶν ἑαυτοῦ τῇ πατρίδι καὶ οἷς ἂν ἐνείη ταύτην ἀμείβοιτο, ὅθεν τὸ εἶναι τὸ ζῆν ἔσχομεν αὐτὸ τὸ ἔχειν οἷς ἂν τὸν εὐγνώμονα δείξαιμεν.

p. 132a Ἄλλοι μὲν οὖν ἄλλο τι τῶν ἢ || μικρὸν ἢ μεῖζον δυναμένων τῇ πατρίδι συνεισφερέτωσαν, οἱ μὲν χορηγοῦντες, ἄλλοι τριηραρχοῦντες, τοὺς πολίτας ἕτεροι λαμπρῶς ἑστιῶντες, οἱ δ' ἐπισκευάζοντες πεπονηκότα τὰ τείχη καὶ νεὼς ἀνιστάντες καὶ ἱερὰ καὶ κατασκευάζοντες θέατρα, τὰ μὲν πρὸς κόσμον, τὰ δὲ πρὸς ἀσφάλειαν, τὰ δ' εἰς αὔξη-

1. *πατρᾶσι* 5. *ἀντεῦποιεῖν* (καὶ κατωτέρω πανταχοῦ) *τί* 7 (καὶ κατωτέρω πανταχοῦ). *μήδὲ* 8. *ἐκτιννῦντα* ἐκ τοῦ *ἐκτιννῦντα* 19. *μεταταῦτα* 20. *οὐχ'* διαγραφείσης εἶτα τῆς ἀποστρόφου 27. *ἄλλό τι*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σιν αὐτῇ καὶ ἐπίδοσιν, αὐτὴν αὑτῆς ἐκ παντὸς τρόπου βελτίω μηχανωμένων εἰςαεὶ γίνεσθαι, ὡς μὴ τὸ τὰ πέρυσι βελτίω εἶναι κρατεῖν ἐπ᾽ αὐτῆς, τὸ δ᾽ ἐς νέωτα πλουσιωτέραν ἑαυτῆς ἀεὶ καὶ φαιδροτέραν οὐκ ἐλπίζεσθαι μόνον, ἀλλ᾽ ἤδη καὶ φαίνεσθαι γινομένην, ὥςτ᾽ ἐπ᾽ αὐτοὺς τἀγαθὸν πάλιν ἀντιστραφῆναι, οὐδενὸς δεομένης ἐκείνης, εὐδαίμονας αὐτοὺς ὄντας καὶ καλουμένους. Οἱ μὲν δὴ ταῦτα, καὶ πάντως αὐτῶν ἕκαστος, οὐθ᾽ ἧττον ἢ δύνανται οὔτ᾽ ἀποδιδοῖεν ἂν ὅσον ὀφείλουσι· τὸ μὲν γὰρ ἀδύνατον, εἴπερ οὐκ ἐκεῖθεν εἰλήφασι τὸ δύνασθαι μόνον, ἀλλὰ καὶ σφίσιν αὐτοῖς ταῦτα πορίζονται, τὸ δὲ παντελῶς ἄγνωμον. Ἡμεῖς δὲ τῶν ἄλλων ἀποροῦντες ἁπάντων καὶ πρὸς οὐδὲν ἂν ἕτερον οὔτε ὄντες οὔτ᾽ ἐσόμενοι χρήσιμοι τῇ πατρίδι καὶ τοῦ μὲν πρὸς αὐτὴν γιγνομένου κατὰ ταὐτὰ τοῖς ἄλλοις πολίταις ἡμῖν ὄντες ὑπόχρεω, τοῦ δέ γε ταὐτὰ δύνασθαι καὶ πάνυ λειπόμενοι, οἷς ἔχομεν μόνοις ἀποδώσομεν αὐτῇ τὰ τροφεῖα καὶ τὴν δυνατὴν ἐκτίνοντες τῇ τροφῷ χάριν, τῷ καλλίστῳ μὲν ἂν τῶν σφετέρων, οὐδενὸς δὲ λειπομένῳ τῶν ἄλλων ταύτην ἀγήλαιμεν, λόγοις κοσμοῦντες οἷς ἡμᾶς ἀντὶ πάντων ὁ λόγιος ἐδοκίμασε θεὸς ἀγαπᾶν, τὴν οὐ θρεψαμένην μόνον παραγαγοῦσαν, ἀλλὰ καὶ τούτων ἡμῖν γενομένην αἰτίαν τὰ μὲν οἷς οἴκοθεν αὐτὴ προςπαρέσχετο δαψιλῶς, τὰ δ᾽ οἷς τὰ παρ᾽ ἑτέρων οἴους τ᾽ ἀπέφηνε δέξασθαι. Εἰ δ᾽ οὐ τὸ πρὸς αὐτὴν ταύτῃ χρέος ἀφοσιωσόμεθα μόνον, ἀλλὰ καὶ τῶν ἄλλως ἂν γενομένων ἐπιτυχὼν τῶν δικαίων τῶν πρὸς αὐτὴν οὐδὲν ἧττον, χάρις μὲν τῷ θεῷ μὴ παντάπασιν ἀσυντελεῖς ἡμᾶς ἀνασχομένῳ φανῆναι, χάρις δὲ καὶ τοῖς λόγοις αὐτοῖς, δυναμένοις τοσοῦτον καὶ οὕτω λαχοῦσι ‖ τάξεως ἐν τοῖς οὖσιν, ὡς οὐ- φ. 138
δενὸς μὲν ἡττᾶσθαι, ἀλλὰ πλεονεκτεῖν μὲν τῶν πλείστων, τοῖς δ᾽ ἐς ἴσον ἀκριβῶς ἔρχεσθαι. Καίτοι λόγον ἀσκοῦσι καὶ τοῦτον τοῦ καθ᾽ αὑτοὺς βίου προστησαμένοις παντός, οὐδ᾽ ἄλλως ἐνῆν ἂν οὐδὲ πολλὰ βουλομένοις ποιεῖν, εἴπερ ἡμᾶς μὲν ἀνάγκη μᾶλλον τῶν ἄλλων τοῖς φαινομένοις εὐλόγοις ἐκ παντὸς ἕπεσθαι τρόπου, τὴν δ᾽ ἐνεγκαμένην ἀγάλλειν τοῖς δυνατοῖς, ὡς οὐχ ἕτερον εὔλογον ὃν ὁ λόγος ἀπέδειξεν. Εἰ γὰρ αὐτοὶ λόγον ἄγοντες περὶ πλείστου τοῖς ἐκ τούτων προφαινομένοις τὴν ἐναντίαν βαδίσαιμεν, σχολῇ γ᾽ ἂν ἑτέροις πιθανὰ συμβουλεύσαιμεν, κατὰ λόγον καὶ τὸ εἰκὸς τὰ σφῶν αὐτῶν πείθοντες ἄγειν. Οὕτω καὶ μετὰ μείζονος ἀνάγκης ἐπὶ τὸν λόγον ἡμεῖς ἴοιμεν, καὶ πρὸς τοῦτον ἀποδυσαίμεθ᾽ ἂν τὸν ἀγῶνα ἢ οἱ τῶν ὄντων ἄλλως ἀπαρχόμενοι τῇ σφετέρᾳ.

12 καὶ κατωτέρω πανταχοῦ . [illegible]

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΜΕΛΗΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Παραιτεῖσθαι δὴ νόμιμον ὂν τοῖς ἐκ τοῦ προφανοῦς μάλιστα σχῆμα τοῦ λόγου προστησαμένοις σεμνὸν καὶ σφᾶς μὲν αὐτοὺς ταπεινοῦντας, ἐξαίροντας δὲ τὰ πράγματα, τοὺς ἀκροατὰς οὕτω καταπραΰνειν, ὡς ἂν ἀμφοτέρως εὐδοκιμήσειαν, ἐφικόμενοί τε τῆς ἀξίας καὶ κατόπιν ἐλθόντες, τὸ μὲν τῆς σφῶν αὐτῷ λέγειν δεινότητος, τὸ δ᾽ ἀποφερομένης τῶν ἐπαινουμένων τῆς φύσεως, αὐτός οὔτε κατὰ ταὐτὰ τοῖς ἄλλοις τόνδε διαθήσω τὸν λόγον, καὶ τοσούτῳ δέω χρήσεσθαι τοῖς τοιούτοις, ὥςτ᾽ ὅτι μὲν ὁ λόγος ἐργώδης τε καὶ λαμπρὸς καὶ δυςχερὴς ἀνῦσαι, μηδὲν διδαχθῆναι δεόμενος, μήτ᾽ ἴσως διδάξαι· κρατεῖ γὰρ ἐν ταῖς ἁπάντων ψυχαῖς· ὅτι δὲ καὶ αὐτὸς φαύλως πρὸς τοὺς τοιούςδε τῶν λόγων καὶ οὐχ ἱκανῶς παρεσκεύασται παντὸς μᾶλλον εἰδώς, ὅμως οὔτε ἀποκνῶ, καὶ θαρρούντως ἐπ᾽ αὐτὸ τρέψομαι τὸ ἐγκώμιον, τὸ μὲν εὖ τε καὶ καλῶς περὶ τῶν τῇ πατρίδι προςόντων εἰπεῖν καὶ τῇ ᾽κείνης ἀξίᾳ τὸν λόγον ἀποδοῦναι συμβαίνοντα, εὐκτὸν μὲν εὐχόμενος εἶναι καὶ οἷον ἀντὶ πολλῶν ἂν ἀλλάξασθαι, οὐ ῥᾴδιον δὲ, ἀγαπῶν δ᾽ ἂν εἰ
φ. 133v καὶ ὁπωςοῦν τὰ τοῦ χρέους ἀφοσιώσομαι ‖ καὶ μὴ πάνυ τοι πόρρω τοῦ σκοποῦ βάλλοιμι. Οἶμαι δὲ καὶ τῶν νῦν τε παρόντων καὶ μετέπειτα συνεσομένων τοῖςδε τοῖς λόγοις ταύτῃ τοὺς πλείστους κρινεῖν καὶ τῶν τοιούτων κριτὰς ἀξιόχρεως. Τῶν γὰρ μείζοσιν ἢ καθ᾽ αὑτοὺς ἐγχειρούντων, μή τινος μὲν συνωθούσης ἀνάγκης, οὐκ ἄν τις ἐλλελοιπότων τῆς ἀξίας ἀνάσχοιτο· ἐνὸν γὰρ ἔξω τῶν κινδύνων ἑστῶτας ἀπηλλάχθαι πραγμάτων, οἵδ᾽ ὑπὸ τῆς ἄγαν φιλοτιμίας, ὡς ἔοικεν, ἀποδύονται τὸν ἀγῶνα καὶ τὸ στάδιον ὑπειςέρχονται καὶ σφᾶς αὐτοὺς ἐν τοῖς ἀθληταῖς ἀπογράφονται. Ὥςτ᾽ ἂν εἰκότως ἀντὶ θαύματος ἀποφέροιντο γέλωτα, μὴ διὰ πάντων διήκοντες καὶ πᾶσιν ἀρκούντως ἐπεξελθόντες. Εἰ δέ τις ἑκὼν ἄκων κατατολμᾷ τῶν μεγίστων, καὶ σφόδρα μὲν ἂν βουλόμενος ἐνεῖναί οἱ μὴ παρακινδυνεύειν, οὐκ ἔχων δ᾽ ὅπως, τοῦτον οὐχ ὁρῶ πῶς ἄν τις εὐλόγως τὴν διὰ πάντων ἀπαιτοίη ἀκρίβειαν ἢ πῶς δικαίως ἂν μέμψαιτο, τῆς ὑποθέσεως ἡττηθέντα, τοῦτο δὴ τοὐμὸν καὶ ὃ πᾶσα παθεῖν ἀνάγκη τοὺς Τραπεζοῦντα καὶ τὴν αὐτῆς εὐφημίαν τῷ λόγῳ ποιουμένους ὑπόθεσιν, οὐ μόνον ὅτι πολλῶν ὄντων αὐτῇ τῶν ἐς εὔκλειαν καὶ πολλῶν ἂν ἀπομεριζομένων ἕκαστα δέοι γλωσσῶν, ἀλλ᾽ ὅτι καὶ πρεσβυτάτης εἴπερ ἄλλη τις ὑπαρχούσης, ἐν ἀφανεῖ γε τὰ πλείω τῶν αὐτῆς κεῖσθαι συμβέβηκεν, οὐ τὴν ἀρχὴν μόνην εἰς τὸ πλέον ἀνήκειν τοῦ φανεροῦ καὶ προχείρου λαβεῖν, ὃ περὶ τῆς μητρὸς αὐτῆς πόλεως εἴρηται καὶ πρὸς ἣν εἰ καὶ

ἐφικόμενοι τέ   9. ἀνύσαι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΗΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διὰ μέσων ἑτέρων ἑαυτὴν ἀναφέρει. Ὥςτ' οὐκ ὀλίγων ὄντων τῶν ἡμᾶς διαφευξουμένων καὶ οἷς ὁ λόγος ἐλλιπὴς ἔσται. τὸ μηδὲ τοῖς φαινομένοις αὖ ἐξαρκεῖν ἔχειν ἀφαιρεῖται τοῦ παντὸς ἐγκωμίου τῆς πόλεως, οὐ μὴν ὥςτε καὶ τὴν οὖσαν αὐτῇ δόξαν συναφαιρεθεῖσαν οἴχεσθαι, ὅτι μὴ προςαυξηθῆναι μᾶλλον, ἔργῳ φανέντος τοῦ κατ' αὐτὴν ὑπερέχοντος.

Ἡ γὰρ δὴ πόλις ἡμῖν γεγένηται μὲν οὐκ οὖσα, γενομένη δ' οὐκ ἀπεγένετο, τὸ μὲν πάσαις σχοῦσα κοινόν, τὸ δ' οὐ πάνυ πολλαῖς. Τῶν γὰρ ‖ ἐκ τοῦ παντὸς αἰῶνος συνοικισθεισῶν αἱ μὲν, οὐδ' αὐτὸ τοῦτο συνοικισθεῖσαι καλῶς, εἰς ὃ ἦσαν ἀνέδραμον αὖθις, ὡς μηδὲ τὴν ἀρχὴν γεγονυῖαι, αἱ δὲ, καὶ τύχης ἀγαθῆς ἀπολαύσασαι καὶ πρὸς μέγα δυνάμεως καὶ δόξης ἠρμέναι, αἱ μὲν ὁμαλῶς τε καὶ συνεχῶς, αἱ δ' αὖ κατ' ἀμοιβὴν καὶ ἀντιπερίστασιν, τοτὲ μὲν ἄρχουσαι, τοτὲ δὲ δουλεύουσαι, ὅμως ἅπασαι τελευτῶσαι αἱ μὲν οὐδὲ λείψανον ἑαυτῶν γνώρισμα τῆς πάλαι ποτὲ κατέλιπον τύχης, αἱ δ' ὅσον τὸ τῆς φύσεως ἀνώμαλον καὶ ἀνόμοιον ἀπελέγξαι τὸν χρόνον νικήσασαι τοῖς ἄλλοις ἡττῶνται, πολλὰς ἐν τῷ μέσῳ μεταβολὰς ἀμειψάμεναι καὶ μετὰ τῆς χείρονος ἱστάμεναι μοίρας, παρὰ τοσοῦτον τῆς παντελοῦς γενόμεναι κρείττους φθορᾶς παρ' ὅσον τοῦτ' ἦν αὐταῖς βέλτιον ἧς νῦν ὑπὸ τῆς τοῦ χρόνου περιπετείας εἰλήφασι τάξεώς τε καὶ καταστάσεως. Ταυτηνὶ δὲ τὴν ἡμετέραν, ὥςπερ τινὶ θείᾳ μοίρᾳ συστᾶσαν ὡς ἀληθῶς καὶ θείων ἀνδρῶν ἔργον γεγενημένην, ἐνδιδόντος θεοῦ, οὐ χρόνου πλῆθος ἠμαύρωσεν, οὐκ ἤμβλυνεν ὁ τοσοῦτος αἰὼν, οὐχ αἱ κυβεῖαι τῆς τύχης, οὐ τὸ τῶν πραγμάτων ἀνώμαλον καὶ ὁπωςοῦν ἔσχον λυμήνασθαι, ἀλλ' ἅπαξ τὸ εἶναι λαχοῦσα καὶ ὑπὲρ τὰ μέτρα τῆς τῶν ὄντων φιλονεικεῖ φύσεως, ἀρξαμένη μὲν ἐξ ὅτου σχεδὸν ἐπέδωκαν Ἕλληνες, εἴξασα δὲ οὐδέπω τῷ χρόνῳ καὶ ταῖς ἐκεῖθεν μυρίαις μεταβολαῖς, ἀλλ' ἦν τε καὶ ἔστιν ἡμῖν ἡ αὐτὴ ὡς ἂν χθές τε καὶ πρότριτα συνῳκισμένη, κακῶν ἀπαθὴς καὶ τῶν τοῦ βίου κυμάτων ἀνώτερος, καὶ εἴη γε, σῶτερ θεὲ πολιοῦχε καὶ ἡγεμόνιε, μηδὲ πρότερον παύσαιτο πρὶν ἂν ὕδωρ τε νάοι καὶ δένδρεα μακρὰ τεθηλότα, σοῦ συνέχοντος ἄνωθεν καὶ τῇ κραταιᾷ χειρὶ περιέποντος καὶ τοῦ οἰκείου μεταδιδόντος ὡς ἑνὸν ἀγαθοῦ, τῆς διαμονῆς τε καὶ διαρκείας. Τὸ δὲ μεῖζον καὶ ὃ μόνης αὐτῆς ἴδιον καὶ μάλιστα πρὸς ἐπαίνου καὶ θαύματος, ὅτι καὶ βελτίων ἑαυτῆς ἀεὶ καὶ ‖ τιμιωτέρα καθίσταται, ἐπιδιδοῦσα, τοῦ χρόνου προβαίνοντος, εἰςαεὶ καὶ κατὰ τοσοῦτον τοῦ εὖ εἶ- φ. 141v

10. τηραρχὴν  15 (καὶ κατωτέρω). πάλαί ποτε  21. ὥσπέρ τινι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ναι πλεονεκτοῦσα, καθόσον αὐτῇ πλεονάζεται καὶ τὸ ἁπλῶς εἶναι καὶ ὄν τι καὶ εἶναι καὶ λέγεσθαι, ὡς ὁ λόγος προϊὼν δηλώσει σαφέστερον καὶ τοῖς ἀγνοοῦσιν ἀνθρώπων, εἴπέρ τινές εἰσι, παραστήσει.

Αὕτη πρώτην τοῦ γένους ἀρχὴν καὶ μητρόπολιν, εἰ δεῖ τὰ πρεσβύτερα πρότερα λέγειν, ἀττικὴν καὶ τὴν Ἀθηναίων αὐχεῖ πόλιν, τὴν τροφὸν τῶν Ἑλλήνων, τὴν μητέρα τῶν λόγων, τῆς καλλίστης ταύτης φωνῆς τὴν διδάσκαλον. Ἀπῴκισαν μὲν γὰρ αὐτὴν Σινωπεῖς, τοὺς δ' αὖ, οἰκισθέντες ὑπ' Ἀθηναίων, Μιλήσιοι, τὰ κράτιστα τῆς Ἀσίας, τὸ πρόσχημα τῶν Ἰώνων, οἱ τῆς παραλίου ταύτης Ἑλλάδος ἡγούμενοι, οὐκ ἄλκιμοι μόνον γεγενημένοι πάλαι ποτέ, τοῦτο δὴ τὸ λεγόμενον, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς ὅσης ἂν εἴποις.

Ἀθηναίων μὲν οὖν πέρι διεξιέναι καὶ τῆς αὐτῶν ἀλκῆς καὶ δυνάμεως καὶ ὡς πάσης ἐπελάβοντο γῆς τὰ μὲν ἀποικίαις, τὰ δ' ἰδίαις τε καὶ κοιναῖς φιλανθρωπίαις, ἀντὶ φυλακτηρίου κοινῇ καθιστάμενοι πᾶσιν, ἐνίοις μὲν δεομένοις αὐτῶν, τῶν δὲ καὶ μόνης τῆς χρείας ἱκανῆς παρακλήσεως γινομένης, ὅσους τε πολέμους διενεγκόντες πρὸς Ἕλληνας καὶ βαρβάρους τοὺς μὲν πρὸς ὃν ἂν ἑκάστοτε τύχοι, ἔστι δ' οὓς καὶ πρὸς τοὺς ἀπὸ πάσης τῆς οἰκουμένης σχεδόν, ὅσον ἐν πᾶσι τῶν ἐναντίων ἐκράτησαν καὶ κρείττους ἐγένοντο καὶ ὅσα ἄν τις περὶ τούτων εἰπεῖν ἔχοι, ταῦτα μὲν οὖν ἐάσω· Ἑλλήνων τε γὰρ εἶναι οὐδένα ὅστις τὰ κατ' αὐτὴν ἀγνοεῖ οὐ μᾶλλόν γε ἢ τὰ τῆς γεννησαμένης αὐτὸν ἕκαστος καὶ ἄλλως οὐ τὸ τυχὸν ἔργον, οὐδὲ δέκα μόνον ἢ δὶς τοσούτων γλωσσῶν, οὐχ ὅτι γε πάντα τὰ 'κείνης, ἀλλ' οὐδ' ἕν τι τῶν προσόντων καὶ μίαν αὐτῆς πρᾶξιν ἀπολαβόντα κατ' ἀξίαν εἰπεῖν.

Μιλήτου δὲ καὶ τῆς Μιλησίων δυνάμεως ὀλίγα μνησθεὶς ὅσον τῇ τε μητρὶ τὰ εἰκότα χαρίσασθαι καὶ δεῖξαι μὴ τὸ πορρωτέρω μόνον καὶ πρεσβύτερον ἡμῖν γένος οὕτως ἐπαίνου παντὸς κρεῖττον ὑπάρχον, ἀλλὰ καὶ τὸ προσεχὲς καὶ ἐγγύτερον οὐδὲν ἀποδέον ἐκείνου καὶ οἷον ἂν ἐφάμιλλον γένοιτο καὶ τῆς προαγαγούσης ἐπάξιον καὶ μάλα συμ-
φ. 134b βαῖνον, || ἐπ' αὐτὴν εἶμι τὴν ὑμνουμένην καὶ ἣν ἐνεστησάμην ὑπόθεσιν.

Μίλητον τοίνυν, οἰκισάντων τῶν Ἀθηναίων, ἐς μέγα προβῆναι δυνάμεως Ἰωνίας τε πάσης ἡγεμονεῦσαι καὶ τῶν ταύτῃ κατῳκημένων Ἑλλήνων προστῆναι μαρτυροῦσι μὲν λογογράφοι καὶ συγγραφεῖς ἅπαντες, μαρτυρεῖ δὲ καὶ ἃ ἐν τῷ παντὶ διεπράξατο χρόνῳ ὑπέρ τε σφῶν αὐτῶν καὶ Ἑλλήνων τῶν Ἀσιανῶν, πρὸς ὁμόρους τε καὶ ἅμα πλήθει καὶ πλούτῳ ἰσχύοντας διαμαχομένη βαρβάρους καὶ ὅμως ἀντέ-

2. *ὄν τί* 20. *ἐάσειν* 21. *μᾶλλον* 24. *καταξίαν* 35. *ὁμόρους*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΦΙΛΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χουσα. Οἱ γὰρ Ἀσίας καὶ τῶν ἐντὸς Ἅλυος ποταμοῦ πολλῶν ὄντες ἐθνῶν ἄρχοντες βάρβαροι, ἀπὸ Γύγου τοῦ τὸν δεσπότην ἀπεκτονότος Κανδαύλην ἀρξάμενοι καὶ τὴν Λυδῶν οὕτως ἡγεμονίαν περιζωσαμένου, ἀεὶ μέν τι προςεπικτώμενοι, ἀεὶ δ' ἔλαττον νομίζοντες ἔχειν καὶ τὸ μηδέν, εἴ τινες τὴν αὑτῶν μὲν οἰκοῖεν, ἐλεύθεροι δ' εἶεν ἀπὸ τοῦ ἴσου τε καὶ ὁμοίου σφίσι διαλεγόμενοι, ἐπεὶ πᾶν μὲν αὐτοῖς ἔθνος κατέστραπται, Φρύγες δὲ καὶ Μυσοὶ δουλείαν ὁμολογήσαντες ὑπετάγησαν, Βιθυνοί τε καὶ Παφλαγόνες καὶ Χάλυβες μετὰ τῶν ἡττημένων γεγένηνται, Πάμφυλοί τε καὶ Κᾶρες καὶ πᾶν γένος ὑπεῖξαν, ὥςπερ ἀστραπῆς προςιούσης ὑπεξιστάμενοι, ἀδούλωτον δ' αὐτοῖς ὑπῆρχεν οὐδὲν οὐδ' ἐλεύθερον. Ἕλληνες δὲ μόνοι καὶ μάλιστα Ἴωνες καὶ τούτων αὖθις τὰ κράτιστα, Μίλητος, ἀπρίξ τε τῆς ἐλευθερίας ἀντείχοντο καὶ οὐδὲν ὅπερ οὐκ ἄσμενοι ὑπὲρ ταύτης ᾑροῦντο, δεινὸν μὲν ἐποιοῦντο εἰ μόνοι πάντων ἀνθρώπων ὑπεξαιροῖντο τῆς αὐτῶν δυναστείας, σφοδρὸς δ' αὐτοῖς ἔρως ἐνσκήπτει καὶ τούτους καταδουλώσασθαι.

Ὥςπερ δὴ χορευτῶν τοῦ κορυφαίου σφαλέντος οὐδὲν ὄφελος, καὶ στρατιᾶς ἐκ μέσου γενομένου τοῦ στρατηγοῦ ῥᾳδία ἡ χείρωσις, ἀθλητῶν τε τὸν μάλιστα εὐδόκιμον ἂν τοῦ σταδίου ἐξέλοις τὸ πᾶν συγκαθεῖλες, οὕτω καὶ βάρβαροι πεποιήκεσαν. Δόξαν γὰρ αὐτοῖς Ἰωνίαν || χειρώσασθαι, ἐπὶ τὴν ἡγεμονικὴν καὶ στρατηγίδα πόλιν εὐθὺς ἔβλε- φ. 135α
ψαν, καὶ πᾶν ἦν αὐτοῖς Μίλητος, καί, ὅ φησιν ὁ συγγραφεύς, τἄλλα πολίσματα περὶ ἐλάττονος ποιησάμενοι, ἐπ' αὐτὴν ἤλαυνον πανστρατί, καὶ ταύτην ἑλεῖν ἐποιοῦντο μέγα ἀγώνισμα, οὐχ ὅτι μόνον καὶ καθ' αὑτὴν ἐσομένην οὐ τὴν τυχοῦσαν προςθήκην, οἷα δ' ἂν γένοιτο καὶ τοῦ παντὸς ἀνταξία, ἀλλ' ὅτι καὶ τὸ τῶν ἄλλων Ἑλλήνων κοινῇ φρόνημά τε καὶ ἀξίωμα Μιλήτῳ καὶ τῇ Μιλησίων ἂν συγκαθῃρεῖτο δυνάμει, καὶ λοιπὸν ἦν ἂν οὐδὲν ἔργον οὐδὲ λόγος τῆς ἄλλης Ἑλλάδος, ἀλλ' ἤρκει μόνον αὐτὴν ὁμολογῆσαι τὴν δεσποτείαν καὶ τὰς ἄλλας εὐθὺς ἀναιμωτὶ προςχωρῆσαι. Γύγης τε οὖν καὶ Ἄρδυς ὁ Γύγου οὐ μικρὸν μέν, ὅμως δ' ἀνήνυτον ἔργον πεποιημένοι τὸ ταύτης κρατῆσαι, τέλος ἀπειρηκότες καὶ γνόντες ἀέρα δαίροντες καὶ τὸ ἐκ τῆς ψάμμου σχοινίον πλέκοντες, ἐσπείσαντο, καὶ Κολοφῶνα μὲν εἷλον καὶ Σμύρνην ἐκάκωσαν καὶ Πριήνην ὑπέταξαν καὶ Κλαζομενὰς παρεστήσαντο, ὑπὸ δὲ Μιλησίων παθόντες τι μᾶλλον ἢ δεδρακότες ἀπήλλαξαν, νῷ διοικουμένοις ἐντυχόντες ἀνθρώποις καὶ ἡγεμονικοῖς τὰ πο-

5. *αὐτῶν* 9. *κάρες* 13. *ἄσμενος* 14. *αὐτῶν* 22. *τάλλα*
35. *παθόντές*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

λέμια. Οἵ τε τούτοις διαδεξάμενοι Σαδυάττης ὁ Ἄρδυος καὶ Ἀλυάττης ὁ Σαδυάττου, καταγνόντες αὐτῶν ὡς οὐχ ἱκανῶς παρεσκευασμένων, ἐφ᾽ ἕνδεκα μὲν αὐτοὶ τῇ πολιορκίᾳ προςεῖχον ἐνιαυτούς, τὰ μὲν ἓξ Σαδυάττης, Ἀλυάττης δὲ τὰ ἑπόμενα πέντε. Πολλάκις δὲ ἐςβαλόντες καὶ πλειστάκις συρράξαντες πόλεμον καὶ συστάδην ἀγωνισάμενοι, οὐδὲν ὅμως ἔσχον οὐδ᾽ αὐτοὶ πλέον μετὰ τοσαύτης παρασκευῆς καὶ δυνάμεως ἐπιόντες καὶ Μιλησίοις ἀντικαθιστάμενοι, μόνοις τὸν τοσοῦτον διενεγκοῦσιν ἀγῶνα συμμαχίας ἐπήλυδος ἄνευ ἁπάσης. Οὐδεὶς γὰρ Ἰώνων αὐτοῖς τόνδε συνεπελάφρυνε τὸν ἀγῶνα, τὸ μὲν οὐ προςδεομένοις, τὸ δὲ καὶ τοῦ καιροῦ κατεπείγοντος πρὸς ἑαυτοὺς ἕκαστον βλέπειν καὶ τὴν ἰδίαν ἀσφάλειαν, ἀγαπητὸν ἂν οἰομένους ἑαυτὸν ἕκαστον σώζειν καὶ τὰ οἰκεῖα φυλάττειν.

φ. 135β Οὕτως οἱ μὲν, αὐτὴν ἄγοντες || ἀντὶ πάντων ἐδήλουν οἷς ὡς πρὸς σκοπόν τε καὶ τέλος ἐφέροντο ταύτην πᾶν μηχανώμενοι. Ἡ δ᾽ ἕως ἐνῆν ἀγωνισαμένη πλεῖστα καὶ μέγιστα, μέγα μαρτύριον ἐξενήνοχεν ἀνδρείας, μεγαλοπρεπείας, φρονήσεως· ἀνδρείας μὲν, εἰ, τοσούτοις ἀντιπαλαμωμένη κἀπὶ τοσοῦτον χρόνον, περιεγένετο· μεγαλοπρεπείας δὲ οἷς οὐδὲν τοῦ φρονήματος καθυφῆκεν, οὐδ᾽ ἀνάξιόν τι καὶ ταπεινὸν ἢ ἐνενόησεν ἢ ἐφθέγξατο, δουλείαν ἀκίνδυνον τῆς μετὰ κινδύνων ἐλευθερίας ἀλλαξαμένη. Ἀλλὰ μὴν πῶς ἄν τις μᾶλλόν με τὸν αὐτῇ δείξειε καὶ φρονήσεως καὶ σοφίας ἢ εἰ πᾶσι μὲν αὐτὴ συμμαχοῦσα, μηδ᾽ ἑνὸς δ᾽ ἑτέρου προςδεηθεῖσα, αὐτὴ ἑαυτῇ ἤρκεσεν εὐβουλίᾳ τὴν πολυχειρίαν νικήσασα ἔργῳ τε δείξασα μάταιον οὖσαν τὴν δύναμιν, ἀπούσης φρονήσεως.

Ἆρ᾽ οὖν ἐν μὲν τοῖς ἄνω καὶ τότε καιροῖς οὕτω διηγωνίσατο καὶ παρὰ πάντων εἶχε τὸ συγκεχωρηκὸς, ἐχθρῶν τε καὶ φίλων ἐνσπόνδων καὶ πολεμίων, τῶν μὲν οἷς τῶν ἄλλων ὑπεριδόντες ταύτην ἀρχήν τε καὶ τέλος τῶν ἑλληνικῶν ἡγοῦντο πραγμάτων, τῶν δ᾽ οἷς αὐτὴν σφῶν αὐτῶν προεστήσατο τὴν οἰκείαν αὐτῇ πιστεύσαντες σωτηρίαν. Ἐπεὶ δὲ τῶν πραγμάτων αὐξομένων βαρβάροις ἔδει ποτὲ καὶ Μιλησίους ἀνθρώπους ὄντας φανῆναι καὶ τῷ κύκλῳ περιενεχθέντας τοῦ βίου μὴ τὴν κρείττονα μοῖραν ἔχειν ἀεὶ, ἔστιν οὕς τινας μᾶλλον ἐτίμων οἱ καταδουλωσάμενοι βάρβαροι καὶ βασιλεὺς ὁ μέγας αὐτὸς, οὗ τὰ τέρματα τῆς ἀρχῆς ἀνατέλλων ὁρίζει καὶ δύνων ὁ ἥλιος, ἢ ἐτίμα μὲν διαφερόντως, τὰ δὲ πολεμικὰ κρείττους ἑτέρων ἐνόμιζεν, ἢ τοῦτο μὲν οὐδὲ μαθεῖν ἔχρῃζεν, ἑαυτὸν δ᾽ ἑτέροις μᾶλλον καὶ τὴν οἰκείαν

1-2 (καὶ 4). *σαδυάτης* (καὶ 4). *ἀλυάτης* *σαδυάτου* 3. *ἐπ᾽* 30. *μᾶλλον* 25. *ἀρ᾽* 30. *ἔδει ποτε*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σωτηρίαν ἐν τῷ παρισταμένῳ τῆς χρείας ἐπίστευεν; Οὐδαμῶς· ἀλλ' ὡς ἐλευθέρων ἐλευθέροις, εἰ οἷόν τ' εἰπεῖν, προσφερόμενος, ᾐδεῖτο μὲν τὸ ἀρχαῖον αὐτῶν πρόσχημα καὶ ἣν περιεζώννυντό ποτε τῶν 'Ιώνων ἡγεμονίαν, τῆς δὲ καρτερίας αὐτῶν καὶ τῆς ἐν πολέμῳ δεινότητος ἔργῳ πεπειραμένος, οὔτ' ἐξεστράτευε, Μιλησίων ἀπόντων, παρόντες τε τοῦ βασιλέως σωτῆρες καὶ τῶν ‖ φ. 136α βασιλέως πραγμάτων, ἕως οὐκ ἦν ἄλλως ποιεῖν, διετέλουν γιγνόμενοι καὶ καλούμενοι. 'Επεί τε τὴν ἐλευθερίαν ὠδίνοντες καταδουλουμένους τοὺς Ἕλληνας ὁρᾶν οὐκ ἠνείχοντο, πρῶτοί τε τῆς ἀποστάσεως ἦρξαν, τοῦ καιροῦ παρασχόντος, καί, τοὺς ἄλλους ἐπισπασάμενοι, αὐτοὶ παντὸς ἄρχοντες ἀγαθοῦ καὶ τῷόντι τὸν ἡγεμόνα δεικνύντες μέχρι τε Σάρδεων ἀνῆλθον αὐτῶν καὶ τὰ Περσῶν ἐκάκωσαν πράγματα καὶ τὴν δυνατὴν ὑπὲρ 'Ελλήνων παρὰ βαρβάρων Ἕλληνες ἔλαβον δίκην, ἡγουμένων τε καὶ ἐνδιδόντων τῶν Μιλησίων, σφόδρα καὶ τοῦτο ποιούντων ἑλληνικὸν καὶ σοφόν, τῶν μὲν πραγμάτων ἀντικρουόντων ὑπείκειν, ἁρπάζειν δὲ τὸν καιρὸν παραστάντα, ὡς μήτε τοῖς ἀδυνάτοις ἐπιχειρεῖν, ἀναισθησίας ἐπιφερομένους ἔγκλημα, μήτε τοῦ καιροῦ παρασχόντος καθεύδειν.

Τοιαύτη μὲν δή τις ἡ Μίλητος καὶ τοσαύτη, καὶ οὕτως ἡ πρὸς μητρὸς ἡμῖν εἶπεν ἄν τις μήτηρ διὰ παντὸς ἥκει θαύματος, ὃ περὶ Εὐρώπην 'Αθῆναι καὶ τὸ τῆς 'Αττικῆς ἔδαφος, τοῦτο περὶ τὴν 'Ασίαν αὐτὴ καὶ ἀρχῆς ἕνεκα καὶ εὐδαιμονίας ἀναφανεῖσα. Τοιαύτη δὲ οὖσα καὶ σφόδρα τῶν 'Αθηνῶν ἐπαξία ἑτέραν ἑαυτὴν ἐν τῷ τοῦ Εὐξείνου πόντου καλλίστῳ τὴν Σινώπην οἰκίζει, ἀνθρώπων τε πλήθει στενοχωρουμένη καὶ δυνάμεως ἱκανῶς ἔχουσα. Οὐ γὰρ ἦν ἀπὸ τῆς ἑτέρας ἐπὶ τὴν ἄλλην θάλασσαν μεταβαίνειν, μὴ περιουσίᾳ χρωμένην δυνάμεως καὶ τῶν ἐν μέσῳ πάντων ἢ τελέως ἐπικρατήσασαν ἢ λόγον ποιουμένην οὐδένα. Ἅτε δὲ καὶ δυνάμει καὶ πλούτῳ ἀνθρώπων τε πλήθει τὸ συγκεχωρηκὸς ἔχουσα παρὰ πάντων, πρός τε τὴν ἀποικίαν ἀπεῖδε, καί, κατ' ἐξουσίαν ἑαυτῇ τὸν κάλλιστον χῶρον ἐκλεξαμένη, τοὺς παρ' ἑαυτῆς ᾤκισε φέρουσα ἔνθα συνοίσειν τε αὐτοῖς ἔμελλε μάλιστα καὶ κατῳκημένους ἀσφαλές τε εἶναι καὶ πρὸς τὰς χρείας εὐπόριστον αἷς ὁ τῶν ἀνθρώπων συνέχεται βίος. 'Εν καλῷ μὲν γὰρ τῆς θαλάσσης κειμένη, ‖ φ. 136β ἐν ἀσφαλεῖ δὲ καὶ τῆς ἠπείρου, ἠπειρῶτίς τε καὶ θαλάσσιος οὖσα, οὐδέτερον αὖ ἀκριβῶς εἶναι δοκεῖ, καὶ τοιαύτη δοκοῦσα τὰ παρ' ἑκατέρων ὅμως, ἠπείρου τε καὶ θαλάσσης, δέχεται δαψιλῶς, ἅτε καὶ πρὸς ἀμφοτέρας εὖ ἔχουσα θέσεως ἕνεκα. Προβέβληται μὲν γὰρ

5. *παρόντές* 7. *ἐπεὶ τὲ* 8-9. *πρῶτοι τὲ* 11. *δεικνῦντες* 33. *ἠπειρῶτις τὲ*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ... ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐς τὸ πέλαγος ὁ τῇδε χῶρος, μέχρι πολλοῦ προτεινόμενος, τὴν θάλασσαν ἡμερῶν καὶ τοὺς ἐνταῦθα καταίροντας ὑποδεχόμενος καὶ χεῖρα προτείνων καὶ μεταδιδοὺς ἀναπαύλης καὶ ἀσφαλείας οἷς ἐν κύκλῳ λιμέσι καὶ ὅρμοις διείληπται, μᾶλλον δ' οἷς λιμὴν ὅλος ἐστὶ καὶ σύμπας ὁ πρὸς ἥλιον ἀνίσχοντα κόλπος εἰςέχων, εἰς νήσου δ' ἀποτορνευόμενος σχῆμα, καὶ περιηγμένος ἐν κύκλῳ ἰσθμῷ τινι μίγνυται τῇ ἠπείρῳ ἀπὸ θαλάσσης εἰς θάλασσαν οὐ μάλα πολλῷ διέχοντι διαστήματι, καὶ χερρόνησος γίνεται. Ἡ δὲ πόλις ἐπ' αὐτῷ τῷ ἰσθμῷ, ἐπὶ μὲν μῆκος παρατεταμένη μέχρις οὗ πλείστου ἠδύνατο, κατιοῦσα δ' ἐπ' εὖρος ἑκατέρωθεν μέχρι θαλάσσης καὶ καθαρῶς ἤδη νῆσον τὴν χερρόνησον ἀποδείξασα οἷς, αὐτῆς τε κειμένη μέσον καὶ τῆς ἠπείρου, διέστησεν αὐτὰς ἀπ' ἀλλήλων. Καὶ γοῦν ἀκριβῶς οὖσαν θαλάσσιον οὐδὲν ἧττον αὐτὴν καὶ θαλάττης οὐχ ὀλίγον ἀπέχουσαν ἠπειρῶτιν καλέσαις, ἐκ τοῦ εἴσω καὶ πρὸς θάλατταν αὐτῆς μέρους ἤπειρον περιβεβλημένην τοσαύτην, ὡς καὶ προαστείων λόγον ἐπέχειν καὶ ἀμπελῶνας ἀποπληροῦν καὶ βουσὶ καὶ ἀρότροις ἀνεῖσθαι καὶ πρὸς καρπῶν φορὰν ἐξαρκεῖν. Οὕτω δὲ ἔχουσα καὶ ποταμῶν δύο μεγίστων τε καὶ καλλίστων τῶν ἀνὰ πᾶσαν τὴν γῆν τὴν μέσην εἴληχε θέσιν καὶ ἐναντίαν, ἔνθεν μὲν Νείλου τοῦ τὴν Αἴγυπτον ἄρδοντος, ὑδάτων ἀρίστου καὶ γονιμωτάτου, ἀπ' ἄρκτων δέ γε τοῦ Ἴστρου, πρὸς τὰς ἀμφοτέρων ἐκβολὰς βλέπουσα καὶ ἀμφοῖν ἐναντίον κειμένη, Ἴστρου τοῦ πηγάζοντος μὲν ἐκ Κελτῶν καὶ Πειρήνης πόλεως, μέσον δὲ σχίζοντος ἅπασαν τὴν Εὐρώπην καὶ πρὸς τὸν Εὔξεινον ἐκβαίνοντος πόντον, τῆςδε τῆς πόλεως ἔναντι, ἀφ' ἧς ἄν τέ τις ἐπὶ τὴν ὀρεινὴν ἴοι Κιλικίαν ἄν
137v τ' ἐκεῖθεν ἐς Αἴγυπτον, ‖ ὅπου ῥέων Νεῖλος ἐκβάλλει, εὐθειά τε αὐτῷ ἡ ὁδὸς ἔσται καὶ ἀπαρέγκλιτος καὶ τὸ ὅλον εἰπεῖν ἀτραπός. Οὕτως ἐν καλῷ τε κεῖται τῆς γῆς τόδε τὸ μέρος αὐτῆς, καὶ τοῖς ἁπανταχόθεν δορυφορεῖται καλοῖς, οἷς αὐτούς τε Μιλησίους πρὸς τὸν οἰκεῖον ἐπηγάγετο ἔρωτα καὶ πρότερόν ποτε Κιμμερίοις τὴν πολλὴν ἔστησε πλάνην. Οὗτοι γάρ, ὑπὸ Σκυθῶν τῶν νομάδων ἐκ τῶν ὑπὲρ τῶν Καύκασον καὶ Ἀράξην ποταμὸν τόπων ἐξαναστάντες καὶ εἰς τὸ πρόσθεν ἀεὶ καταδιωκόμενοι, οὐ πρότερον τῆς φυγῆς ἔληξαν, οὐδὲ τῆς τῶν διωκόντων ἔσχον ὠμότητός τε καὶ τυραννίδος ἀπαλλαγῆναι, πρὶν ἐπ' αὐτὴν τήνδε τὴν χερρόνησον ἐξικέσθαι καὶ ταύτην οἰκίσαι, οὕτω μὲν θέσεως εὖ, οὕτω δ' ἀσφαλείας καλῶς ἔχουσαν γνόντες, ὥστ' εἰ μὴ τοῖς Ἕλλησι τῶν τῆς οἰκουμένης τιμιωτάτων πεπρωμένων καὶ τοῦτον αὐ-

15. *λόγων* 25. *εὐθεῖα τὲ* 26. *τοόλον* 29. *πρότερον ποτὲ*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΙΤΣΙΛΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοὺς ἔδει τὸν χῶρον κοσμῆσαι Ἑλληνίδα τε πόλιν ἐνταῦθα συστῆναι, κἂν ἐς τόδε Κιμμερίων ἦν ἔθνη τῇδε οἰκοῦντα καὶ τῆς ἐνταῦθα γῆς ἄρχοντα. Νῦν δ' οὐδ' ἐς δύο που γενεὰς διατετριφότας ἐκεῖσε Λυδοὶ μὲν ἀνέστησαν, Ἕλληνες δὲ καὶ οἱ ἀπὸ Μιλήτου πεμφθέντες, Λυδῶν οὐκ ἐπιστρεφόμενοι, τῆς τε γῆς ἐπελάβοντο καὶ τείχεσι τὸν ἰσθμὸν περιέλαβον, ὡς τὴν τοιάνδε τῆς γῆς ἀπόμοιραν τοὺς τοιούςδε τῶν ἀνδρῶν οἰκεῖν δέον, ἥ, τούτων τε καὶ πολλῶν ἄλλων ὄντων τῶν ἐν ἐπαίνου καὶ θαύματος, οὐδὲν ἧττον καὶ Διογένης ὁ Σινωπεὺς εἰς κόσμον τε καὶ δόξαν αὐτῇ συντελεῖ, ἐνταῦθα μὲν καὶ γεννηθεὶς καὶ τραφείς, ἐν δὲ πάσῃ σχεδὸν οἰκουμένῃ πολιτευσάμενος καὶ γῆς ἁπάσης πολίτης γενόμενος, σοφίας μὲν ἐπ' ἄκρον ἐληλακὼς ὅση τε θεωρίας ἔχεται καὶ λόγων ἅπτεται θειοτέρων ὅση τε πρακτικὴ καὶ ἠθική, κοσμοῦσα τὸν ἄνθρωπον καὶ ῥυθμίζουσα τὴν ψυχὴν καὶ τὰς αὐτῆς ἀτάκτους ὁρμὰς ἀναστέλλουσα, κοινὸς δ' εὐεργέτης ἀναφανεὶς ἅπασι καὶ τυράννους ἐλέγχων καὶ νουθετῶν τοὺς πολλοὺς αὐτῶν τε καθαπτόμενος βασιλέων καὶ ἰδιώτας διδάσκων καὶ πᾶσι κοινὸν ἑαυτὸν εἰς μέσον ||ἀγαθὸν προτιθέμενος. Αὕτη μὲν οὖν, Μιλησίων ἄποικος οὖσα κἀκείνους αὔχουσα πατέρας, ἐπείπερ τῶν προαγαγόντων ἀξίως καὶ ὡς ἂν εἰκὸς ἦν ἐκ ῥίζης ἀνασχοῦσαν τοιαύτης εἰς αὔξησιν ἐπιδοῦσαν καὶ τῶν καθ' αὑτὴν μηδεμιᾶς ἔλαττον ἔχουσαν κατ' οὐδέν, ἔδει μηδ' ἀποικίαις ἐνδεῖν μηδὲ ταύτῃ τῶν ἄλλων ἡττᾶσθαι, μοίρας αὐτῇ θείας συλλαβομένης, καὶ τοῦτο δεδύνηται. Δεδύνηται δὲ βέλτιον μὲν ἢ κατὰ τὰς ἄλλας, μεῖζον δὲ ἢ καθ' αὑτήν, αὐτήν τε καὶ τὰς ἁπανταχοῦ πόλεις ἐν τούτῳ νικήσασα, συνοικίσασα μὲν τὴν Τραπεζοῦντα καὶ ἡμετέραν ταυτηνὶ πόλιν, ἡττηθεῖσα δ' αὐτῆς οὐδ' ὅσον ἂν ηὔξατο· καὶ ὃ τοῖς ἄλλοις πατράσιν εὐκτὸν μέν, οὐ ῥᾴδιον δ' ἴσως, τῶν παίδων ἡττᾶσθαι, τούτου καὶ τετύχηκεν αὕτη, καὶ σφόδρα νενίκηται, καὶ τὰ δευτερεῖα φέρουσα χαίρει ὡς ἂν οὕτω λαμπρότερον κοσμουμένη. Οὐ γὰρ ὅσον αὐτήν τε ταύτην τὴν ἀποικισαμένην ἡ καθ' ἡμᾶς ὑπερεβάλλετο πόλις, ἀλλὰ καὶ τῶν ἄλλων οὐκ ἄν τις εὕροι τὴν νικῶσαν ῥᾳδίως. Ταῖς τε γὰρ τῶν ἀρίστων ἀρίσταις ἐφάμιλλον παρέχεται ἑαυτὴν καὶ πρὸς τὴν Ἀττικὴν καὶ τὴν πόλιν τῶν Ἀθηνῶν ἐξεικασμένη τοῖς πλείοσιν ἐκείνης εἰκὼν καὶ ἀκριβὲς ὡς ἐνῆν ἀπείργασται μίμημα. Ὃ γὰρ ἐφ' ἡμῶν καὶ τῆς φύσεως αὐτῇ δεδιδάγμεθα πείρᾳ καὶ τῷ παθεῖν, ὡς ἄρα στίγματά τινα καὶ οὐλὰς ἐν βραχίοσι καὶ προσώπῳ φερόντων τινῶν, ἐν μὲν παισὶ καὶ παίδων ἴσως παισὶν οὐκ

φ. 137

18 (καὶ 28). ὡσὰν   20. μήδ'   26. πατρᾶσιν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἂν ἴδοις τὴν ὁμοιότητα, ἐς δὲ τρίτην γενεὰν καὶ τετάρτην ἐπισημαίνει τά γε τοιαῦτα, καὶ τὴν ἴσην οὐλὴν ἐπὶ ταὐτοῦ τόπου τῷ πάππῳ ἢ ἐπιπάππῳ τὸν υἱωνὸν ἢ υἱὸν υἱωνοῦ εὕροις ἂν φέροντα, τοῦτο κἀνταῦθα κρείττονα τρόπον συμβέβηκεν. Οὐ γὰρ οὐλῶν δή τινων καὶ στιγμάτων οὐδ' ἀγεννῶν τινῶν καὶ φαύλων ἡμῖν ἡ πόλις παραδειγμάτων εἰκόνα σώζει καὶ τύπον, ἀλλὰ τὴν Ἀθηνῶν κοινότητα καὶ φιλανθρωπίαν καί τινα τρόπον ἕτερον τὸ αὐτόχθον ἐκεῖνο καὶ τῆς δυ- φ. 138α νάμεως τὴν περιουσίαν καὶ κράτος ἐν πολέμοις || καὶ μάχαις καὶ ὅσα κόσμος Ἀττικῆς καὶ ταύτης μόνης καθέστηκεν οὐ παντελῶς ἐν τοῖς ὑπ' αὐτῆς οἰκισθεῖσι σωθέντος ἀκριβῶς ἡμεῖς μεμιμήμεθα, καίτοι διὰ τρίτης πρὸς αὐτὴν ἀναφέροντες καὶ παίδων αὐτῇ παῖδες ὄντες καὶ πρὸς αὐτὴν ἀπεικάσμεθα τρίβον καὶ τοῦ παραδείγματος οὐκ ἐκπίπτομεν, ὥστ' ἄν τις ἐκείνοις τὰ ἡμέτερα παραβάλλοι, καὶ σφόδρ' ἂν τοῦ σκοποῦ τύχοι καὶ πολλῶν συλληψομένων καὶ συνοισόντων αὐτῷ τῶν ἐπαίνων τὸν ἔρανον. Τοῦ μὲν γὰρ παντὸς μέση καὶ γῆς τῆς καθόλου οὔτ' αὐτὴ κεῖται ἡ ἡμετέρα, οὔτ' ἂν αὐτὸς φαίην. Μάλιστα μὲν γὰρ μιᾶς τοῦτο γίνεται καὶ τόπου ἑνὸς καὶ τὰς ἄλλας οὐκ ἔστι ταὐτοῦ τούτου τυχεῖν, οὐδ' ἂν πολλὰ ἀγωνίσωνται, ὥςθ' ὅταν τις ἁπασῶν ταύτῃ καταψηφίσηται, καὶ τούτου χωρὶς οὐκ ἂν ἔχοιμεν οἷς αὐτοὺς τῆς μέμψεως ἐξελοίμεθα καὶ μετὰ τῶν ἐπαινουμένων ἂν θείημεν, τότε καὶ ταύτην ἢ μέσην δεκτέον ἢ μὴ ἔχοντας ἐγκαλύπτεσθαι καὶ μετ' αἰσχύνης περιιέναι, τὸ μεῖζον εἰς δόξαν ὑφαιρεθέντας. Ἔπειτα, εἰ μὲν τῷ μέσην εἶναι καὶ τὸ πάντων εὐθὺς ἀρίστην πεφυκέναι συνηκολούθει, εἶχεν ἂν λόγον περιεργάζεσθαι· εἰ δὲ τοῦτο μὲν οὐδ' ἄν τις καὶ τοῖς οὖσιν ἀπομαχόμενος εἴποι, πολλαὶ δὲ διαφοραὶ γῆς βελτίους τε καὶ κρείττους, μείους τε καὶ μείζους, αὐτῆς ἑαυτῆς ὡς ἐπὶ τὸ πολὺ βελτίονος οὔσης τοῖς πλείοσιν αὐτῆς μέρεσιν, ἔνθα τὸ μέσον χώραν οὐκ ἔχει, τί ἄν τις ἣν ἐπαινεῖ ἀπό τε τῶν οὐκ ὄντων καὶ ὧν οὐ μέγα τὸ θαῦμα κοσμοίη, τὰ ὄντα οἱ παρ' οὐδὲν θέμενος καὶ τὸν ἀληθῆ κόσμον αὐτῆς παριδὼν καὶ κατ' ἄμφω τοῦ πρέποντος ἁμαρτών; Τὸ μὲν οὖν τῆς γῆς μέσον οὐκ ἂν ἡμῖν ἡ πόλις ἐπέχοι, τὸ δ' αὐτῆς κάλλιστον ὄψις τε μαρτυρεῖ καὶ πεῖρα παρέστησε καὶ ὁ λόγος προϊὼν ἀποδείξει.

Εἰ δή με καὶ μεσότητος χρὴ μνησθῆναί τινος, μέσην ἂν φαίην οὐκ Ἀττικῆς τινος καὶ Ἑλλάδος, μικροῦ χωρίου καὶ γῆς ὀλίγης, μικροῖς φ. 138β διαστήμασι μετρουμένης καὶ στενοῖς ὅροις ὁριζομένης, || ἀλλὰ τοῦ τῆς

2 (καὶ 17). ταυτοῦ τόπω 18. ὅτάν 26. ἐπιτοπολύ 29. ὄντά 32. μνησθῆναι τινός

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἀσίας ὡς εἰπεῖν πλείστου καὶ τῶν Ἀσιανῶν ἐθνῶν καὶ πόλεων. Ἐκ μὲν γὰρ τοῦ πρὸς ἀνίσχοντα ἥλιον Πέρσαι καὶ Μῆδοι καὶ Σάπειρες καὶ τὰ Κόλχων ἔθνη περιοικοῦσι τὴν ἡμετέραν, ἐκ δέ γε θατέρου Καππαδόκαι καὶ Κίλικες καὶ Γαλάται περιστοιχοῦσιν ἡμᾶς καὶ Λυδοί, ὥςπερ τινὰ δορυφορίαν ἡμῖν συμπληροῦντες καὶ χορείαν τινὰ περιελίττοντες ἐναρμόνιον, ὥςπερ ἐν κύκλῳ, καὶ στεφανοῦντες μὲν ἡμᾶς τοῖς παρ' ἑαυτῶν καὶ ὧν ἑκάστη φέρει καλῶν, δεχόμενοι δὲ τὰ παρ' ἡμῶν καὶ ὅ φασιν ἐξαντλοῦντες μὲν ἀμφοτέραις, πλείω δὲ λείποντες ἢ λαμβάνουσιν. Αὐτή τε γὰρ παρ' αὐτῆς ἡ πόλις ἡμῶν οὐκ ἔστιν ἧς τινος ἔλαττον ἔχει οἷς φέρει καὶ γεωργεῖ καὶ τὰ παρ' ἐκείνων ὑποδεχομένη ταμεῖον κοινὸν καὶ ἐργαστήριον οἰκουμένης καὶ θαλάσσα, φασίν, ἀγαθῶν ἀναπέφηνεν. Οὐ γὰρ δὴ πρὸς οὓς εἴρηται μόνον οὕτω θέσεως δεξιῶς ἔχει, ὥςπερ τι κέντρον πρὸς τὰ κύκλῳ πανταχοῦ σχεδὸν ἴσην ἔχουσα τὴν ἀπόστασιν, ὡς, ὅθεν ἄν τις ἐπ' αὐτὴν ὁρμηθῇ, κοῦφον εἶναι τὴν πόλιν καὶ μονονοὺ πάντοθεν ἴσην καὶ ὅμοιον, ἀλλὰ καί, πρὸς τοὺς τῆς ἑτέρας ἠπείρου καὶ πόλεις τὰς εὐρωπαίας οὐδὲν ἧττον ἔχουσα συμμιγνῦναι, τὴν ἀρίστην εἴληχε τάξιν καὶ θέσιν καὶ ἧς οὐδ' ἂν αὐτὴ κρείττονα ηὔξατο. Τοῦ γὰρ πρὸς ἕω σύμπαντος Πόντου καὶ τῆς τῇδε θαλάσσης τὴν μέσην σχεδὸν χώραν ἐπέχουσα, πρός τε τὰ παρ' ἑκάτερα παραπλεῖν ἀσφαλῶς ἔχει καὶ ῥᾷστα, τὰ μὲν ἐκφέρουσα, τὰ δ' ἀντεισάγουσα, τῇ τε ἀντιπέρας ἠπείρῳ οὐκ ἐκ πολλοῦ διαστήματος οὐδὲ πολλοῦ πόνου καὶ πλοῦ μιγνυμένη οὐκ ἔστιν ὃ τῶν καλῶν αὐτὴν διαφεύγει καὶ ὧν ἡ σύμπασα φέρει. Οὕτως ἡμῖν περίεστι καὶ μεσότητος, καὶ τοιούτων ἄρα καὶ τοσούτων ἐθνῶν καὶ χωρῶν τὴν μέσην εἰλήχαμεν, εἴπερ τῳ φέρειν καὶ τοῦτο δοκεῖ εἰς ἔπαινον καὶ θαύματος λόγον.

Πελάγους τε καὶ θαλάσσης τοιαύτης τὸ μέσον ἐπέχομεν, ἣν οὐδεὶς ἂν διὰ τέλους ‖ οὐ λογογράφος οὐ ποιητὴς ᾆσαι, κἂν πολλὰ φθέγξαιτο (φ. 139v) καὶ τοῦτο μόνον ἔργον προστήσαιτο. Τῷ γὰρ Εὐξείνῳ δὴ πόντῳ πρῶτον μὲν αὐτὴ τοὔνομα τοῦτο, πολλήν φιλανθρωπίαν τε καὶ κοινότητα μαρτυροῦν, πάντα συλλήβδην αὐτοῦ κατηγορεῖ τἀγαθά, ὡς μὴ τὸν πολλὰ μὲν εἰρεσίαις ἐνιδρώσαντα, πολλὰ δὲ πρωρεύσαντα καὶ διασκεψάμενον πνεύματα, κύματα, κλύδωνας, πλείω δὲ πηδαλιουχήσαντα μόνον, ἀλλὰ καὶ τὸν θαλάσσης καὶ τοῦ κατ' αὐτὴν ἄπειρον πλοῦ τοῦτο μόνον ῥηθὲν θαρρύνειν τε καὶ πτεροῦν πρὸς τὸν πλοῦν, καὶ κυμάτων καὶ πνευμάτων ὑπερορῶντα καὶ πᾶσαν τῆς ψυχῆς ἀπεληλακότα δειλίαν.

5. *ὥσπερ τινα* 13. *ὥσπερ* 25. *εἴπερ* 28. *διατέλους*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔπειτ' αὐτῇ τε πείρᾳ γνόντας καὶ πράγματι ὡς ἀλύπως καὶ ἀσφαλῶς, ὡς ἐνὸν τοὺς πλέοντας ἑκασταχοῦ παραπέμπει, οὐκ ἔστιν αὐτῷ παραβαλεῖν οὐδ' ὀντινοῦν ἕτερον, οὐ κόλπον, οὐ πέλαγος. Οὐ Χάρυβδιν γὰρ, οὐ Σκύλλαν προτείνεται, οὐκ ἄμπωτιν, οὐ πλημμυρίδα ποιεῖ καὶ παλίρροιαν, τοτὲ μὲν ἐπὶ ξηρᾶς ὥςπερ προςηλῶν καὶ πατταλεύων τὰ σκάφη, τοτὲ δὲ βυθίζων καὶ δεικνὺς ὑποβρύχια, οὐδὲ Σικελικὸς ἐνταῦθα πορθμὸς καὶ πελάγους Ἀτλαντικοῦ ῥαχίαι καὶ πέτραι τινὲς ὕφαλοι καὶ σπιλάδες, αἷς ἀνάγκη τοῦ πνεύματος τοὺς πλέοντας συρρηγνύντας τῶν μὲν αἰσθάνεσθαι μόνον, οὐκ ἔχειν δ' ὅπερ ἂν διαπράξωνται, πρὸ ὀφθαλμῶν σφίσι τοῦ ὀλέθρου κειμένου, τῶν δ' οὐδὲ συνεῖναι πληττουσῶν, ἀλλὰ φθάνειν τὴν πεῖραν τὴν αἴσθησιν τῶν κακῶν, πρὶν οἷ τύχης κεχώρηκε σφίσι τὰ πράγματα γνῶναι τοῦ ἁλμυροῦ πίνοντας ὕδατος, ἀλλ' ὅλος δι' ὅλου ἑαυτοῦ ὁμαλός τε καὶ συνεχὴς τέταται, ἐφ' ὅσον πλεῖστον ἐχρῆν ἥκων μήκους τε καὶ πλάτους, ὡς μήτε ἀδιεξίτητος εἶναι διὰ τὸ μέγεθος, μήτ' αὖ ὑπεροπτέος τῷ συν-
φ. 139β εστάλθαι πρὸς τὸ || μηδὲν καὶ μικροῖς ὅροις ἀπείργεσθαι, ἀλλ' ἡμερῶν μὲν οὐκ ὀλίγων τριφθήσεται πλῆθος πανταχῇ περιπλέοντι, διὰ παντὸς δὲ ὅμως ἔξεστι διελθεῖν· καὶ πάντα τὸν Πόντον διερευνήσασθαι, μηδὲν αὐτοῦ καταλιπόντα ἀκίχητον. Τὴν γὰρ ἐν ἑκατέρῳ φυγῶν ἀμετρίαν, ἐπίσης τε καὶ μικρότητα καὶ μέγεθος ἀτιμάσας, ἐπὶ τοῦ μέσου τε καὶ ὀρθοῦ τετήρηκεν ἑαυτὸν, τιμήσας τὸ μέτριον, νικῶν μὲν ὢν βέλτιον κατὰ μέγεθος, ἡττώμενος δ' ἅ γε νικᾶν οὐχ ἐχρῆν, ὡς νίκην εἶναι καὶ τὴν ἧτταν αὐτῷ κἀνταῦθα μόνον νικᾶσθαι οὗ νικᾶν οὐ συνήνεγκεν ἄν. Ὥςτε, δέκα τῶν μεγέθει διαφερόντων κόλπων θαλάττης γνωριζομένων, οὔτε πρῶτός ἐστιν οὗτος οὔθ' ὕστατος, ἀλλ' ὁ μέσος ἤδη καὶ ἕκτος. Οὕτω καὶ οὗτος τὸ μέσον τετίμηκε. Θάλαττα δὲ καὶ πέλαγος ὢν καὶ καλούμενος, αὐτὸ τοῦτο μόνον ἐστὶν ὃ κέκληται, πέλαγος, οὐ νήσους, οὐκ ἠπείρους προβάλλων ἐν τῷ μέσῳ, οὐδ' ἀγροὺς καὶ κώμας καὶ πόλεις ἐν μέσῃ θαλάττῃ δεικνὺς, ὡς ἔργον εἶναι τὴν ἀληθῆ κλῆσιν αὐτῷ φωράσαι καὶ ὅθεν ἂν αὐτὸν ὀνομάσαιμεν, πότερον ἤπειρον ἢ θάλατταν ὑγρὰν ἢ ξηρὰν, χέρσον ἢ πέλαγος, τοῦτο δὴ τὸ τῆς ἄλλης θαλάττης, ᾗ νόθην ἂν φαίην ταύτην προςεῖναι τὴν κλῆσιν, ἀλλοτρίῳ ἐπιθεμένην ὀνόματι, τὴν δ' ἡμετέραν ταυτηνὶ θάλασσαν μόνην γνησίως τε καὶ κυρίως τοῦτο καλεῖσθαι καὶ μόνην συμβαίνειν οἷς ὀνομάζεται, ὥςτε καὶ τοὺς τῇδε τὸν πλοῦν ποιουμένους

3. *ὄντινοῦν* 8-9. *σύῤῥηγνῦντας* 25. *πρῶτος ἐστὶν* 28. *προβαλλὼν*
Ἀντὶ τοῦ *μέσω* εἶχεν ἀρχίσει γράφων *β ῶ*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οὐδὲν οὐδαμῶς ὑποπτεύειν, ἀλλ' ὅλως ἐστὶ θαρρεῖν φερομένους καὶ νύκτωρ καὶ μεθ' ἡμέραν μέσον τὸ πέλαγος τέμνοντας, οὐ νήσους, οὐ σκοπέλους ὑφορωμένους, οὐ δεδιότας ναυάγια, οἷς πολλοῖς περιπίπτειν ἀνάγκη τοὺς Ἑλλησπόντῳ τε καὶ Αἰγαίῳ καὶ ‖ τῇ τῇδε παραβαλλομένους θαλάττῃ ἀσφαλέστερόν τε πλεῖν ἄνευ ἁπάσης περιεργίας τὸν Εὔξεινον τῶν ὑπὸ πυρσοῖς καὶ λαμπτῆρσι καὶ πύργοις ἀλλαχοῦ καταιρόντων. Περὶ πᾶσαν μὲν γὰρ ἑαυτοῦ τὴν ἀκτὴν ὅρμους τε καὶ λιμένας αὐτοφυεῖς ἐκ συμμέτρου διαστήματος παρεχόμενος, ὡς ἔστιν ἐν οἷς οὐδὲ πείσματος ὁρμούσας δεῖσθαι τὰς ναῦς, εἴσω δὲ τῶν ἑκατέρωθεν αἰγιαλῶν αὐτὸ τοῦτο μόνον ὕδωρ καὶ πέλαγος ὑπάρχων ἀμύθητον ἐφέντας μὲν εἰς αὐτὸ ταῖς χρηστοτέραις βουκολεῖ τῶν ἐλπίδων· κοῦφον γὰρ αὐτοῖς τότε καὶ νὺξ ἐπιγενομένη καὶ καταιγίδες καὶ λαίλαπες καὶ τυφὼς προσραγείς· ἔξεστι δέ γε πυθέσθαι τῶν ναυτικῶν, πᾶν οἰομένων φορητὸν μετά γε πελάγους· κατάραντας δὲ λαμπρῶς ὑποδέχεται καὶ φιλοφρόνως διαναπαύει, μεταδιδοῦσα καὶ λιμένων καὶ ἀγορῶν καὶ τῆς ἄλλης τρυφῆς· ὃ πολλοῦ δεῖ τῆς ἄλλης ἀπολαύειν θαλάσσης, ἡνίκ' ἄν, νυκτὸς ἀσελήνου ἐπιλαβούσης καὶ πνευμάτων ἐναντίων ἀπολαβόντων καὶ κύκλῳ πανταχῇ περικεχυμένων τῶν νήσων, ἔστι δ' ὅτε καὶ λαμπρὸν τῆς ἡμέρας διαλαμπούσης, σφοδρότερον συνωθοῦντος τοῦ πνεύματος, πρινὴ μεταχειρίσασθαι τὰ ἱστία καὶ χαλάσαι τὰ λαίφη, λάθοιμεν ἐξοκείλαντες πρὸς τὰς τῶν νήσων ἀκτὰς καὶ ταῖς πέτραις προσρήξαντες καὶ δύντες κατὰ βυθοῦ. φ. 110α

Τοιούτου δὲ τοῦ παντὸς ὄντος Εὐξείνου, τὸ περικλύζον ἡμᾶς ἔτι μέρος αὐτοῦ πολλῷ φιλανθρωπότερόν τε καὶ ἡμερώτερον, ὥσπερ ἑαυτὸν ἐνταῦθα νικῆσαι ἐρίσαντος καὶ αὐτὸν ἑαυτοῦ βελτίω τοῦτο τὸ μέρος φανῆναι θελήσαντος, ὥστε τοὺς ἐνταῦθα ναυτικοὺς καὶ θαλάττης ἐργάτας, ‖ καίτοι λιμένων ὄντων ἡμῖν οὐκ οἶδ' εἴ τινος φερόντων τὰ δεύτερα, ἔνθεν μὲν τοῦ τοῦ Ὕσσου λιμένος, ἐκεῖθεν δὲ τοῦ Ῥιζοῦντος, φ. 110β οὐδὲν αὐτοῖς χρῆσθαι, τὰ πλεῖστα κατ' ἐξουσίαν ἐνθερίζοντάς τε καὶ ἐνεαρίζοντας, ἔστι δ' ὅτε καὶ ἐγχειμάζοντας ὅπου καὶ τύχοι τῶν αἰγιαλῶν, ἐπὶ μιᾶς ἀγκύρας ἢ καὶ πολλάκις ἑνὸς πείσματος πεποιθότας καὶ χρωμένους ἀντὶ λιμένων ἀκτῇ πάσῃ καὶ πᾶσιν αἰγιαλοῖς καὶ σφᾶς αὐτοὺς καὶ τὰ σκάφη πιστεύοντας ᾧ ἂν καὶ βούλοιντο. Ὥσπερ γάρ, οἶμαι, τῆς φύσεως εὐφυῶς τε καὶ δεξιῶς τὰ τῇδε πάντα διαθεμένης, ἅτε προειδομένης τὴν ἐσομένην ἐνταῦθα πόλιν καὶ ὡς τοῖς τε ἄλλοις

19. *Γρ. διαλαμπούσης* *διαυγαζούσης* 20. *ἑστία* 21. *ἐξωκείλαντες* 22. *δῦντες* 30. *ἐν-χειμάζοντας*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ – ΤΟΜΕΑΣ ... – ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... – ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ τῷ ναυτικῷ πλεῖστον διοίσει καὶ τριήρεσι περιέσται καὶ ναυσὶ κρατήσει τῶν κατ' αὐτήν. Οὕτω τῆς ἐνταῦθα θαλάσσης ἥ τε φύσις καὶ θέσις εὐφυῶς ἔσχεν, ἀντὶ λιμένων μὲν τὰς ἀκτάς, ἀντὶ δὲ ὅρμων πεπλουτηκυῖα τοὺς αἰγιαλούς, ὃ μόνον ἄπιστον πανταχῇ πιστὸν ἐνταῦθ' ἀναφήνασα καὶ τὰ ἴσα δυνάμενον, οἷς μόνοις ἔνι πιστεύειν καὶ θαρρεῖν πανταχῇ, ὡς μηδὲν ἐμποδὼν εἴη τῷ πεπρωμένῳ καὶ οἷς περὶ αὐτῆς εἵμαρτο, μηδὲ κωλύσῃ μηδὲν αὐτὴν θαλάττης πειρᾶσθαι καὶ κυμάτων κατατολμᾶν καὶ ναυτικὸν βίον βιοῦν. Πρὸς δὲ τοῦτο δοκῶ μοι καὶ τοὺς πρώτους ταύτην οἰκισαμένους ἰδόντας καὶ ταῦτα μαντευσαμένους περὶ αὐτῆς, ἐνταῦθα φέροντας ἐνιδρῦσαι τοὺς ἐξ ἑαυτῶν, πολλῶν τῶν ἐν μέσῳ ὑπεριδόντας. Παρ' ἑκάτερα γὰρ λιμένων ἐλλογίμων ὄντων, ὡς ἂν ἐκ τοῦ σύνεγγυς ἀμφοῖν ἔχοιεν χρῆσθαι, ἐπίσης αὐτοὺς ἑκατέρων ἀπέστησαν, πρὸς μὲν τὴν παροῦσαν ἑκάστοτε χρείαν φ. 141α ἀρκεῖν ἂν οἰόμενοι || τοὺς παρόντας αἰγιαλούς, ἐν δὲ τῷ καλοῦντι τῆς ἀνάγκης κατ' ἐξουσίαν ἢ τόν γε κρείττω καὶ ταῖς παρισταμέναις ὥραις συμβαίνοντα πληροῦν αὐτοῖς τὴν ἀνάγκην ἢ καὶ ἄμφω τὰς ναῦς αὐτῶν ὑποδέχεσθαι, τοῦ ἑνὸς οὐ χωροῦντος, οὐδ' ἀρκοῦντος τοσῷδε ναυτικοῦ πλήθει, ὃ πολλοῦ γ' ἔδει αὐτοὺς δύνασθαι, θατέρῳ τῶν λιμένων ἐπικειμένης τῆς πόλεως. Τούτου τε γὰρ ἂν ἐστέρητο, οὗ τὸ πλεῖστον τοῦ χρόνου νῦν ὁρμοῦσιν αἱ πλόϊμοι καὶ τοῦ τῶν λιμένων ἑτέρου δὶς τοσοῦτον ὅσον τό γε νῦν εἶναι διέχουσα οὐδέποτ' ἂν εἶχεν ὅσον νῦν ἀπολαύειν. Νῦν δ' ἀμφοῖν ἐν τῷ μέσῳ κειμένη, τριπλοῦν ἀνθ' ἁπλοῦ περιβέβληται τὸν λιμένα, τῶν παρ' ἑκάτερα κειμένων ὥσπερ μεταδιδόντων καὶ τῇ μεταξὺ ἑαυτῶν θαλάσσῃ τῆς οἰκείας φύσεως καὶ τὸ σύμπαν αὐτῆς ἕνα τινὰ καὶ συνεχῆ διὰ παντὸς ἑαυτοῦ λιμένα δεικνύντων. Ἐξ οὗ τί γίνεται; Πᾶσι μὲν συμμίγνυμεν ἔθνεσι, πᾶσι δὲ συμβάλλομεν γένεσιν, ἄστεά τε καὶ νόον ἀνθρώπων οὐκ ἔστιν ὧν τινων οὐ γινώσκοντες, τὰ μὲν οἷς αὐτοὶ ναυσὶν ἡμεδαπαῖς πανταχῇ διαβαίνομεν, τὰ δ' οἷς ἐπήλυδες ἁπανταχόθεν καταίρουσιν, σοφώτεροί τε καὶ αὐτῶν καὶ βελτίους γινόμεθα, τὰ κάλλιστα πανταχόθεν συλλέγοντες καὶ τὸ χρήσιμον ἐκλεγόμενοι καὶ πᾶν εἶδος ἐμπορευόμενοι γνώσεως. Καίτοι τινὸς ἤκουσα λέγοντος ὡς πλεῖστον ἀπέχειν αἰγιαλῶν καὶ θαλάττης μέρος εὐδαιμονίας εἶναι ταῖς πόλεσι καὶ πρὸς ἀρετὴν ἔχειν αὐταῖς συμβαλέσθαι ὡς ἂν ναυτικῆς ἀναρχίας καὶ ἀπειροκαλίας ἀπηλλαγμέναις καὶ τῶν παρεπομένων θορύβων καὶ ταραχῆς καὶ συγχύσεως καὶ τῆς δεινῆς ἀμαθίας. Ἐγὼ δ' εἰ μὲν ἢ τοὺς ναυτι-

18. αὐτοὺς πρόςθετον ἄνωθεν    28. ἡμεδαποῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΔΩΡΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κοὺς μόνους ἢ πάντας ἑώρων ταῦτα νοσοῦντας ἢ τὴν πολυπειρίαν ἄλλως || συλλεγομένην ἀνθρώποις καὶ τὸ εἰδέναι τήν τ' ἀρετὴν οὐκ ἂν φ. 141β προςγενομένην οὐδ' ὁτῳοῦν, ἂν μὴ πολλὴν πρότερον ἀλογίαν ἐπιτηδεύσῃ καὶ ἀμιξίαν, μηδενὶ μήτε συμβάλλων μήτε διομιλούμενος, σφόδρ' ἂν ἐδεδίειν τὸν λόγον καὶ τὴν θάλατταν ἂν ἐδυςχέραινον καὶ τὰ κύματα, εἰ δὲ πόλιν μὲν εὖ ἔχειν καὶ διὰ παντὸς ἥκειν ἐπαινουμένου μὴ ὡς πλείστοις συμβάλλουσαν, οὐδεὶς ἂν συμφῆσαι. Τῶν δ' ἐμπορευομένων οἱ πλεῖστοι κακοί, κἂν ναυτικοὺς εἴποις κἂν ἠπειρώτας. Ἔστι δέ γ' ἐς ἀγαθὸν καὶ θαλαττίων ἀπώνασθαι· οὐδὲν γὰρ ἀπώμοτον, τό τε πολλὰ μαθεῖν ἐκ τοῦ πολλὰ παθεῖν περιγίνεται καὶ τὸ ἰδεῖν τῷ εἰδέναι συμβάλλεται. Ἀρετῆς τε κυρίως οὐκ ἄν τις ἐφίκοιτο οὐδ' ἂν ἐπαινοῖτο κατ' αὐτὴν καὶ θαυμάζοιτο πρὸς ἀξίαν, μὴ πολλῶν ὄντων τῶν ἀντικρουόντων περιγινόμενος καὶ κατορθῶν ἐν πολλοῖς σφάλλουσι, καίτοι καὶ τὸ εἰδέναι μόνον αὐτὸ καὶ γινώσκειν οὐκ οἶδ' εἴ τις τοῦ κρατίστου μέρους ἐξέλοι τῆς ἀρετῆς. Τί δεῖ τῶν ἀναχωρήσεων καὶ προφάσεων τούτων ἢ πῶς ἀξίως δυςχερανοῦσιν ἃ μὴ χρεὼν καὶ ψέξουσι θάλατταν, καὶ κοῦφον ἂν νομιοῦσιν εἴ τις αὐτῆς στέρηται, δέον, ἐγκαλυπτομένους οἷς τούτῳ τῷ μέρει τῶν ἄλλων λείπονται, τοῦτο μὲν σιγῇ παρελθεῖν, ἑτέρωθεν δὲ τὸν ἔπαινον ἐρανίζεσθαι καὶ συμπληροῦν τὸ ἐγκώμιον;

Τίς γὰρ καὶ τούτων ἄνευ οὐκ οἶδεν ὅσοις ἀνάγκη τῶν ἐν μεσογείᾳ πλεονεκτεῖν τὰς ἐν θαλάττῃ κατῳκημένας εὐδαιμονίας τε εἵνεκα καὶ πλούτου καὶ ὠνίων ἀφθονίας καὶ τῆς ἄλλης ἐς τὸν βίον παρασκευῆς τε καὶ εὐθηνίας, προςέτι δὲ καὶ δυνάμεως καὶ τῆς κατὰ πόλεμόν τε καὶ μάχας ἀνδρείας καὶ ἐμπειρίας; Ταῖς μέν γε καὶ ἀμφοῖν ἔξεστιν ἀπολαύειν καὶ θαλαττίοις εἶναι κατ' ἐξουσίαν καὶ γῆν ἀσπάζεσθαι καὶ τὰ τῆς χέρσου καλὰ καὶ στρατιὰν ἀγείρειν καὶ ἐπιταφρεύεσθαι || καὶ χαράκωμα βάλλεσθαι καὶ πηγνῦναι στρατόπεδον καὶ στόλον δεῆσαν φ. 142α συγκροτῆσαι πάντων μάλιστα ῥᾷστα καὶ ἀπὸ τοῦ καταστρώματος διαμάχεσθαι καὶ λαίφεσι καὶ κώπαις καὶ πνεύμασι πιστεύειν εἰςπλέοντας, ἐκπλέοντας, διαπλέοντας καὶ πάντοθεν ἰσχυροῖς εἶναι καὶ τῶν ἐχθρῶν περιγίνεσθαι. Αἱ δ' οὐδὲν μᾶλλον τῆς ἠπείρου μόνης καὶ τῶν ἐκεῖθεν καλῶν κορεννύμεναι θατέρῳ, τάχα δὲ δὴ τῷ πλείστῳ καὶ τῷ παντὶ τὸ ἔλαττον ἔχουσι, τῶν ἐκ θαλάττης καλῶν στερισκόμεναι, καίτοι, εἰ Πλάτων ἀμφοτεροδέξιον ἄνθρωπον ἐπαινεῖ καὶ θαυμάζει καὶ τυχόντα μὲν οὕτω τῆς φύσεως μακαρίζει, τοὺς δὲ μὴ τυχόντας προ-

5. ἐδυσχέραον



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τρέπει πρὸς ἄσκησιν, ὡς τῷ παντί γε διαφέρον μιᾷ τε χειρὶ καὶ ἀμφοῖν ἔχειν κεχρῆσθαι, ἥπου τούς γε θαλάττης ὅλης εὐφυῶς ἔχοντας καὶ ἠπείρου ὅσον μιᾶς χειρὸς καὶ ἑνὸς μέλους σώματος τοσούτῳ μέρει τῆς οἰκουμένης μᾶλλον ἂν καὶ πρὸς πλείω τις χρήσαιτο, τοσοῦτον ἄρα καὶ μᾶλλον θαυμάσομεν καὶ ζηλώσομεν καὶ τῷ ὄντι νομιοῦμεν εὐδαίμονας, τοῦτο δὴ τὸ ἡμέτερον; Τίς γὰρ ἡμῶν ἢ πρὸς γῆν ἢ πρὸς θάλατταν εὐφυέστερον ἔχει, τίς δὲ καὶ τῶν παρ' ἀμφοῖν ἐξ ἴσης ἡμῖν ἀπολαύειν; Οἵ γε τοῦ Πόντου τὸ μεσαίτατον εἰληχότες καὶ τούτων ἐθνῶν καὶ χωρῶν Γαλατίᾳ μὲν καὶ Παμφυλίᾳ καὶ Κιλικίᾳ καὶ τοῖς Εὐφρατίοις ἀπόνως συμμίσγομεν ἔθνεσι, πλέοντές τε καὶ τὰ πλεῖστα πεζεύοντες κἀκεῖθεν κατ' ἐξουσίαν πόρρω τῶν ἑῴων τε καὶ μεσημβρινῶν ἐλαύνοντες πόλεων, διαβαίνομεν δὲ ῥᾷστά τε καὶ κουφότατα πρὸς τὴν ἀντιπέρας ἤπειρον καὶ ἀμφοτέραν τὴν Σαρματῶν γῆν καὶ Κολχίδα καὶ Ἀλβανίαν καὶ Ἰβηρίαν καὶ ἐκεῖθεν αὖθις τῶν ἀρκτῴων ἐς ὅσον ἔνι ἀπολαύομεν, οὐδὲ τῶν δυσμικῶν τῷ τοσούτῳ διαστήματι διειργόμενοι. || φ. 149β Ταῖς ναυσὶ γὰρ τὸ τοσοῦτον μῆκος συστέλλεται, καὶ ῥᾷον καὶ τούτοις συμβάλλομεν, αὐτοί τε παρὰ τούτους ἰόντες καὶ τοὺς ἐκεῖθεν ὑποδεχόμενοι, ὥςθ', ὥςπερ τινὸς ἐργαστηρίου κοινοῦ ἢ ἐμπορίου τῆς οἰκουμένης ἁπάσης ἡμῖν οὔσης τῆς πόλεως, τούς τε ἁπανταχοῦ τῆς γῆς ἐνταῦθα ἂν ἴδοις πολιτευομένους τὸ πλεῖστον τοῦ χρόνου καὶ οὐ πολλὰ ἂν κάμοις τὰ γνωριμώτερα τῶν γενῶν καὶ γλωσσῶν ἐξετάζων. Ἀρκεῖ γὰρ ἐς τὴν τῇδε ἀγορὰν κατιόντα τῶν ἀγοραζόντων πυθέσθαι καὶ αὐτῶν τούτων περὶ ὧν ἂν δέοι μαθεῖν καὶ τῶν ἑκασταχοῦ γινομένων καὶ ὧν ἑκάστη φέρει. καλῶν οὐκ οἶδ' εἴ που καλλίω ἢ πλείω ἔστιν εὑρεῖν. Μηδικὴ τε γὰρ ἐσθὴς καὶ αἰγύπτιος καὶ τὰ Σηρῶν νήματα καὶ κανᾶ τῶν Σινῶν καὶ τὰ Κιλίκων ὑφάσματα οὐκ ἐλάττω παρ' ἡμῖν ἢ παρ' οὓς φύονται, καὶ ὅσα ἡ περὶ τὸν Φᾶσιν καὶ Τάναϊν φέρει καὶ τὴν ἐνταῦθα γῆν ἅπασαν πάντα ἂν εὕροις ἐνταῦθα καὶ ὅσα τῆς ἄλλης γῆς οὐδαμοῦ, ὥςτε κἀν τούτοις ἑκάστην τε ἀνὰ μέρος νικᾶν καὶ πάσας ὁμοῦ τὸ μὲν οἷς τὰ πασῶν ἔχει κεκτημένα πλουσίως, ἑκάστης τοῖς οἰκείοις πλεονεκτούσας, τὸ δ' οἷς καὶ τὰ παρ' ἑαυτῆς προςτίθησι δαψιλῶς καὶ τὰ ἑτέρωθεν ἐπειςάγουσα καὶ τὰ παρ' ἑαυτῆς πλεῖστα φύουσα. Ἑκάστης γοῦν τῆς ἡμέρας ὥςπερ ἐν ἑορτῇ τε καὶ πανηγύρει τοὺς μὲν ἴδοις ἂν ἐςιόντας, τοὺς δ' ἐξιόντας, καὶ οἱ μὲν προςίασιν, οἱ δὲ ἀπίασιν, οἱ μὲν ἐκ θα-

5. *τωόντι* (καὶ κατωτέρω, ἐνιαχοῦ δὲ *τωόντι*) 7. *ἐξίσης* 12. *ῥᾶστα τὲ*
18. *ὥςπερ τινος*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΕΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λάττης, οἱ δ' ἐξ ἠπείρου, πλέοντες καὶ πεζεύοντες, ὥστε τὴν μὲν τῇδε θάλατταν ὁλκάσιν ἀναγομέναις τε καὶ καταγομέναις ἀεὶ κατακαλύπτεσθαι καὶ σχεδὸν ναῦν μόνην ὁρᾶσθαι καὶ λαίφη κυρτούμενά τε καὶ κοιλαινόμενα, τὴν δ' ἤπειρον πλήθειν ‖ ἀνθρώπων καὶ φορτηγῶν φ. 143 ζῴων, ἐμπόρων ἄλλοθεν ἄλλων προσιόντων καὶ ἀπιόντων καὶ παντοδαπὰ φερόντων τε καὶ λαμβανόντων ὤνια πάντων, τῶν μὲν πρὸς χρείαν καὶ τὴν ἀναγκαίαν ἀνθρώποις ζωήν, τῶν δὲ πρὸς τρυφὴν καὶ διαγωγὴν καὶ ῥᾳστώνην καὶ ὅσα πόλεων εὐτυχίαν καὶ περιουσίαν εὐδαιμονίας κατηγορεῖ.

Ἀλλ' οὕτω μὲν τῆς κατὰ γῆν τε καὶ θάλατταν εἴληχε θέσεως. καὶ οὕτως ἐν καλῷ καὶ τούτων ἀμφοῖν κεῖται καὶ δεξιῶς ἔχει πρὸς ἀμφοτέρας. Τῆς γε μὴν τῶν ὡρῶν ἁρμονίας καὶ κράσεως εἵνεκα καὶ ὡς ἐνταῦθα τῷ ὄντι κυρίως καὶ ἀληθῶς ἔξεστιν αὐτὰς διαιρεῖν ἑκάστῃ τε τούτων ἕκαστον μέρος ἀπονέμειν οἰκείως τοῦ χρόνου, τούτων μὲν οὖν οὐδεὶς ἐρίσας ἡμῖν ἀμφισβητήσιμον γοῦν ἑαυτῷ καταστήσει τὴν ἧτταν, οὐδ' ἔστιν ἥτις τῶν πόλεων τὰ ἐντεῦθεν βραβεῖα ἀποίσεται, μᾶλλον δ' οὐκ ἔστιν ἥτις οὐ παραχωρήσει τῇ ἡμετέρᾳ καὶ τοῖς δευτερείοις ἀγαπήσει καὶ στέρξει νικωμένη τῆς Τραπεζοῦντος, ὥσπερ ἄλλη νικήσασα. Μόνη γὰρ ἡ παρ' ἡμῖν κατὰ φύσιν τε καὶ λόγον καὶ τὸ εἰκὸς ἢ κομιδῇ σὺν ὀλίγαις ἡμέρῶν ἔτυχε τῶν ὡρῶν καὶ συμμέτρου τῆς ἐνεργείας ἑκάστων καὶ ὄντως ὡραίων καὶ αὐτὸ τοῦτο ὃ κέκληνται. Καὶ μαρτυρήσουσιν ἄνδρες ἀστρονόμοι καὶ οἱ παιδεύοντες τὰ μετέωρα καὶ οὐράνια, ὀγδοήκοντα μὲν μοιρῶν τὸ σύμπαν τῆς καθ' ἡμᾶς οἰκουμένης πλάτος καὶ ἀπὸ τῆς διακεκαυμένης μέχρι τῆς κατεψυγμένης ζώνης τιθέμενοι, ὑπὸ δὲ τεσσαρακοστὸν τρίτον παράλληλον τὴν Τραπεζοῦντα κεῖσθαι διδάσκοντες καὶ τὸ μέσον τοῦ καθόλου πλάτους μαρτυροῦντες ἐπέχειν. Ὥστ' ἴσον τοῦ σφοδροῦ καύματος καὶ ψύχους ἀπέχουσα οὔτε τοῦ χειμῶνος οὔτε τοῦ θέρους παρὰ τὴν ἐπωνυμίαν τετύχηκεν ἢ τῷ ψύχει πλέον τοῦ δέοντος ἢ τῷ ‖ καύματι φ. 143v χρωμένη μᾶλλον ἢ χρῆν, ὡς ἢ χειμῶνα τὸ θέρος ἢ θέρους ὥραν εἶναι τὴν τοῦ χειμῶνος αὐτῇ, ὃ τῶν πόλεων αἱ πολλαὶ πάσχουσι καὶ ὅσαι πρὸς βορρᾶν μᾶλλον ἢ πρὸς νότον τὴν οἴκησιν ἔλαχον, ὅπου τῷ μᾶλλον καὶ ἧττον τὰς ὥρας ἔξεστι διαιρεῖν καὶ τούτοις ἀμυδρῶς τε καὶ σκιωδῶς καταχρωμένους ταῖς κλήσεσιν, οὐ κυρίας τὰς ὀνομασίας προσφέροντας. Ταῖς μὲν γὰρ ὄμβροις ἀεὶ καὶ χιόσι καὶ παγετῷ πηγνυμέναις οὐ τοῦ χειμῶνος μόνον ἀνάγκη ῥιγοῦν καὶ τρόπον δεσμίων ταῖς οἰκίαις ἐνεῖρχθαι τοὺς ἐν αὐτῇ, πεδητῶν βίον βιοῦντας καὶ ταῖς ἀγοραῖς ἢ οὐδ' ὀλίγα συμβάλλοντας ἢ μόνον φανέντας εὐθὺς ὡς εἰς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΥ ΘΕΣΜΟΥ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χηραμοὺς φεύγοντας τὰς οἰκίας ἐνδεδυκέναι, ἀλλὰ καὶ μέσου τοῦ θέρους ζητεῖν ὃ περιβάλωνται καὶ ὅθεν ἂν ἀλέαν πορίσωνται καὶ τὸ ψῦχος ἀμύνωνται· ταῖς δ᾽ αὖ ἐκ τοῦ ἐναντίου θέρμῃ καὶ καύματι καὶ ταῖς ἡλιακαῖς φλεγομέναις ἀκτῖσι θέρος εἶναι καὶ τὸν χειμῶνα καὶ μέσου Ποσειδεῶνος τηκομένους τοὺς ἐνοικοῦντας καὶ ζητοῦντας ὅθεν ἂν ἀναψύξωσιν. Ὥστε τοὺς ὁποτέραν αὐτῶν ἑκάστοτε ἐγκωμιάζοντας τὰ πλείω χαριζομένους ἢ ἀληθεύοντας ἐν τοῖς περὶ τούτων λόγοις ἔστιν εὑρεῖν οὐ σκοποῦντας ὅ τι ἂν ἀληθεύσαιεν, ἀλλ᾽ ὅ τι χαρίσαιντο κἂν μὴ τύχοι τἀκριβὲς οὕτως ἔχον, μόνοις δ᾽ ἡμῖν καὶ ὅσοι τὸν ὑπὲρ τῆς ἡμετέρας λόγον ποιοῦνται ταύτην οὐκ ἔστιν ἐπενεγκεῖν τὴν αἰτίαν, οὐδὲ γράψαιτ᾽ ἄν τις ἡμᾶς ψεύδους οὐδὲ τούτῳ τῷ μέρει. Χορείαν γὰρ ὑπὲρ ἡμᾶς αἱ ὧραι περιελίττουσιν ἐναρμόνιον, ἑκάστης τῇ γείτονι μεταδιδούσης καὶ μεταλαμβανούσης τῶν παρ᾽ ἀλλήλων, ὡς τόν τε χειμῶνα μετέχειν ἀλέας καὶ τὴν θέρειον ὥραν συμμέτρως ψυχραίνεσθαι, κιρναμένων ἀλλήλοις τοῦ ψύχους τε καὶ τοῦ καύματος παρ᾽ ἑκατέρας τὰς ὥρας ‖ καὶ τὴν καλλίστην οὕτως ἁρμονίαν ἀποτε-
φ. 144α λούντων, ὡς αὐτάς τε ταύτας καὶ τὰς μεταξὺ τούτων ὥρας τά τε οἰκεῖα τηρεῖν ἀσυγχύτως καὶ τὰ παρ᾽ ἀλλήλων φιλοφρόνως εἰσδέχεσθαι, οὔτε πλεονεκτούσας ἀλλήλαις, οὔτε τοῦτο πασχούσας, ἐπίσης τε τὴν παντελῆ ἀμιξίαν ἀλλήλων καὶ τὴν παντάπασιν ἕνωσίν τε καὶ μίξιν ἀποστρεφομένας καὶ σύγχυσιν, ἐξ ὧν ὑγιεινοῖς μὲν εἶναι καὶ καλῶς κεκραμένοις τὰ σώματα περιγίνεται, αὐτῇ δὲ τῇ γῇ πρός τε καρπῶν ἀφθόνους εὖ μάλα παρεσκευάσθαι γονὰς καὶ πρὸς τὰς τῶν ὡραίων προβολὰς εὖ ἔχειν, νικώντων κἀνταῦθα μάλιστα καὶ παρὰ τὴν ἐπωνυμίαν εἴπερ που τῆς γῆς. Ἀκρόδρυα γὰρ πάντα καὶ βάλανος ἅπας καὶ ὀπωρῶν ποικιλία, καὶ κάλλει καὶ πλήθει διαφερουσῶν, οὔτε πλείω οὔτε καλλίω παρ᾽ ἄλλοις· λέγω δὲ οὐχ ὡς εἰπεῖν πλεῖστα, οὐδ᾽ εἵνεκα λόγου, ἀλλ᾽ ὄντως πλεῖστα καὶ ἀριθμὸν ὑπερβάλλοντα. Οὕτω κατάκαρπος ἡμῖν ἡ χώρα καὶ πλήρης ἀρίστου παντός, καὶ οὐδ᾽ ἔστιν εὑρεῖν αὐτῆς ὃ μὴ ἕν τι τῶν πάντων προάγει, μηδὲ χορηγεῖ τὴν ἀναγκαίαν συντέλειαν. Οὔτε γὰρ διὰ πάσης ἑαυτῆς ἀνέστηκεν, ἀποκορυφουμένη καὶ ὑψουμένη πρὸς ὄρη, οὔτ᾽ αὖ ὅλη δι᾽ ὅλης ἐξήπλωται εἰς πεδιάδας, ὡς τοῖσδε μὲν ἐξαρκεῖν, ἔστι δ᾽ ὧν καὶ ἀπᾴδειν, μιᾶς φύσεως γῆς οὐκ ἐχούσης ἐπιτηδείως διακεῖσθαι πρὸς πάντα, ἀλλ᾽ ὁμοίως εἰς ὄρη μεριζομένης καὶ πεδιάδας, τὰ πλεῖστα μὲν τὰ αὐτὰ γεννῶσί τε καὶ προφέρουσι καὶ τοῖς αὐτοῖς ἡμᾶς δεξιοῦνται, ὅσα δὲ ἡ ἑτέρα φέρειν

2. *περιβάλλωνται* 25. *εἰπέρ* 35. *γεννῶσι τὲ*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οὐκ ἔχει, ταῦτα θάτερον ἐπιδαψιλεύεται μέρος, παρέχον πλουσίως ὧν ἄλλοθεν ἀπολαύειν οὐκ ἔνι. Τὰ μὲν γὰρ τὸν πάντων καρπῶν ἡμερώτατον φύει, καὶ τοῦτον τῶν ἁπανταχοῦ κάλλιστον. Οὕτως ἐρι||βῶλαξ φ. 144β ἡμῖν ἡ γῆ καὶ πίειρα, ὥστε, πολλοῦ πάντοθεν ἐπεισαγομένου σίτου διαποντίου τε καὶ χερσαίου, ἅτε πληθούσης τε ἀνθρώπων τῆς ἡμετέρας καὶ πολλῆς ἐπεισάκτου δεομένης τροφῆς, οὐδεὶς τῶν ἁπανταχοῦ τῷ παρ' ἡμῖν οὐδ' ἐγγὺς ἂν ἥκοι ποτέ. Τὰ δ' ἄλσεσιν ἀνεῖται καὶ δένδρεσι, τοῖς μὲν καρποφόροις, τοῖς δ' ἄλλην οὐκ ἐλάττω συντέλειαν χορηγοῦσιν ἡμῖν οἷς ὑλοτομεῖν τε καὶ δρυτομεῖν τοῖς ἐνταῦθα παρέχουσιν, ἐξ ὧν νεώς τε ἱδρύομεν καὶ συσκευάζομεν οἴκους, ἐς δύο καὶ τρεῖς ὀρόφους ἀνάγοντες καὶ κάλλους οὐδὲν ἀπολείποντες, καὶ πήγνυμεν ναῦς μακράς τε καὶ φορτηγούς, ἔς τε πόλεμον καὶ εἰρήνην ὁμοίως τὰ μέγιστά τε καὶ ἀναγκαιότατα συντελούσας, ὥστε καὶ δι' ὁμαλῆς ἔξεστι τῆς ὁδοῦ καὶ ψιλῆς διιέναι, τὸν προκείμενον δρόμον ἀνύοντας, καὶ ὑπὸ σκιαῖς καὶ δένδροις ἀνάπαυλαν ἴσχειν καὶ καταψύχεσθαι, τὴν ἐκ τοῦ καύματος θεραπεύοντας φλόγα τοῖς τ' ἀνέχουσι τῶν ὀρῶν καὶ τοῖς παρ' αὐτῶν πνεύμασι τὴν ἐκ τῶν πεδίων ἀποκρουομένους ἀλέαν καὶ ἀποψύχοντας τὸν ἐντεῦθεν ἱδρῶτα. Οὐ γὰρ δὴ τὸ μὲν τῆς χώρας πεδιὰς μόνον καὶ ὅλον ὕπτιον, τὸ δ' ἀνέστηκεν εἰς ὄρη τε καὶ βουνούς, ὡς ἑκάτερον ἑκατέρου κεχωρίσθαι παντάπασιν, ἀλλ' ἔστι μὲν εὑρεῖν ἐνταῦθα καὶ τοῦτο, ἔστι δὲ καὶ πεδία μετὰ γηλόφων ἰδεῖν καὶ βουνῶν οὐ μάλα τοι μετεώρων ἐντυχεῖν τε καὶ ὄρεσι λιβάδας ἐφ' ἑαυτῶν καὶ πεδία προτεινομένοις οὐ μάλα στενά, οὐδὲ σμικροῖς ὅροις περιγραφόμενα, ὡς πανταχοῦ τὸ ἴσον τηρεῖσθαι καὶ μέτριον ἀμφοῖν ὁμοίως, ἀνὰ μέρος τὴν ἡμετέραν κοσμούντων, ὡς μήτ' ἔνθα χρῆν ἐκτετάσθαι τὸν χῶρον || εἰς πεδιάδας ἀποκεκορυφῶσθαι πρὸς ὄρη, μηδ' ὅπου τῶν φ. 145α ὀρῶν ἔδει τὰ πεδία παρεμπεσεῖν, ἀλλὰ τὸν προσήκοντα τηρεῖν ἑκάτερα τόπον καὶ ὃς ἑαυτοῖς τε καὶ τοῖς ἐνταῦθα κατῳκημένοις ἔμελλε συνοίσειν. Πεδία γὰρ ἐκδέχονται ὄρη καὶ βουνοὺς τὰ πεδία καὶ συμφυὲς ἓν οἷον διὰ παντὸς ἑαυτοῦ καὶ πεδίοις τισὶ σύμμικτον ὄρος ἀποκαθίσταται μέχρις ἂν εἰς τὸν Ἀντίταυρον ἥκοι, τὸν ὀρῶν ἄριστον ἡμῖν τε σωτήριον, ὅς, ἀπὸ τοῦ Ταύρου ὄρους μέχρις Εὐφράτου καὶ τῶν Καυκασίων διήκων ὀρέων, μεγέθει τε μέγιστος καὶ μήκει μήκιστος πεφυκώς, τὴν ἡμετέραν τῆς Ἀρμενίας ὁρίζει γῆς καὶ Κιλίκων

2. *ταμὲν* 3. *ἐριβώλαξ* 15. Τοῦ *καταψύχεσθαι προηγεῖται ἀναπαύεσθαι διαγεγραμμένον διὰ γραμμῆς κάτωθεν* 22. *ὄρεσι ἐξ ὄρεσιν* *λιβάδας πρόσθετον ἄνωθεν* 34. *ἀρμενίας*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἧς νῦν ἄρχουσι βάρβαροι πάσης. Ἔδει γὰρ δὴ τοὺς τοσούτῳ φωνῆς τε καὶ γλώττης καὶ τῶν ἑλληνικῶν ἠλλοτριωμένους ἠθῶν μὴ ποταμοῖς τισιν εὖ μάλα διαβατοῖς, κἂν Ἰνδὸς κἂν Γάγγης ὢν τύχοι, καὶ φάραγξιν ἀποτόμοις, οὐδ' αὐτοῖς ἀπεράτοις, καὶ οὐκ οἶδ' οἷς τισι λήροις ἑτέροις, ἀλλ' οὕτως ἐλλογίμοις ἡμῶν καὶ μεγίστοις ὅροις διείργεσθαι, πόρρωθεν καὶ τοῖς ἀγνοοῦσι παρεχομένοις τεκμήρασθαι ὅσον ἡμῶν τε κἀκείνων τὸ μέσον καὶ ὡς πλεῖστον ἀλλήλων διέστημεν παιδείᾳ τε καὶ τοῖς κατὰ φρόνησιν ἀγαθοῖς καὶ ἃ κοσμεῖ μόνα τὸν ἄνθρωπον. Πρὸς γὰρ δὴ τῷ τοσοῦτον ἡμῶν τε κἀκείνων μεταξὺ κεῖσθαι ἔτι καὶ δεινῶς ἄβατον ἢ μάλιστα δύσβατον ἑαυτὸν παρεχόμενος ἀποτόμους τε καὶ κρημνώδεις ἔχει καὶ μάλα στενὰς τὰς εἰσόδους τε καὶ διόδους καὶ οὐ πάνυ τοι περασίμους, καὶ ταύτας οὐ δύο καὶ τρεῖς οὐδὲ τέτταρας, οὐδ' ἑκάστην ὀλιγομήκη καὶ βραχὺ τὸ φαραγγῶδες καὶ ἀπότομον ἔχουσαν, ἀλλ' ἐς μὲν ὅσον ἐνῆν πλεῖστον ῥαγάσι τε καὶ κρημνοῖς καὶ στενοπόροις ‖ μηκυνομένην ὁδοῖς, ἐς ἀριθμὸν δὲ τὰς πάσας ἀποπερατουμένας ἱκανὸν καὶ ὑπὲρ ὃν οὐκ ἐχρῆν ἐκτετάσθαι. Οὐ γὰρ κατὰ τὰς ἐν Ἑλλάδι Πύλας ἡμῖν ὁ Ἀντίταυρος τὰς εἰσόδους παρέχεται, ἐνί τινι τόπῳ μόνον ὠχυρωμένας καὶ τούτῳ δ' ἐλλιπῶς· δι' ἑτέρας γάρ ἐστιν ἀκινδύνως ἄνωθεν εἰσιέναι, καὶ μὲν δὴ καὶ εἰσίασι Πέρσαι καὶ ὁ μετὰ Ξέρξου στρατός, καὶ Λεωνίδην καὶ τοὺς τριακοσίους μετὰ τῶν σὺν αὐτοῖς συνεπάτησαν, οὐδὲν πλέον τοῦ καλῶς ἀποθανεῖν ἐπιδείξασθαι δυνηθέντας. Οὐδὲ Θυρέαν μιμεῖται τὴν διαιρέτιν γῆς τῆς λακωνικῆς καὶ τῆς ἀργολικῆς μοίρας, ἣν διαβῆναι κοῦφον καὶ σμικροῦ πόνου καὶ μερίμνης ὀλίγης. Οὐδὲν δὲ πρὸς ταύτας ἥ τε δι' Ἄλπεων ἐξ Ἰταλίας ἐς τὴν Κελτῶν γῆν διάβασις καὶ Κιλίκιοι πύλαι, ἔς τε Συρίαν ἀπάγουσαι καὶ τὴν Αἴγυπτον, νικᾶσθαι δὲ τὰς ἁπανταχοῦ πάσας τῶν παρ' ἡμῖν πλήθει τε καὶ δεινότητι, ὡς μέγαν ὅρον τόδε τὸ ὄρος ἑστάναι τοῖς ἑκατέρωθεν ἑαυτοῦ οἷς τε πρὸς τοσοῦτον ἐκτέταται μέγεθος καὶ οἷς οὕτω δύσβατον παρέχεται ἑαυτόν, ὥστ' ἐπὶ μὲν ἀνακωχῆς καὶ εἰρήνης κατ' ἐμπορίαν ἀλλήλοις συμμίσγοντας ἔξεστιν ἀσφαλῶς διιέναι, οὐδὲν δεδιότας, ἐπὶ δὲ πολέμου καὶ μάχης, δεῆσαν ἐπελθεῖν στρατιάν, ἢ οὐδ' ἂν οὐδ' ὅλως εἰσέλθοι, εὐαριθμήτοις τισὶ τῶν εἰσόδων φυλαττομένων ἀνδράσιν, ἢ εἰσελθοῦσα κακῶς ἀπαλλάξει καὶ γνώσεται καθ' ἑαυτῆς ὁρμηθεῖσα καὶ τὸ ξίφος ὠθήσασα. Οὕτως ἡμῖν καὶ ὄρος καὶ τεῖχος καθέστηκεν ὁ Ἀντίταυρος καὶ τῆς ἐκεῖθεν ἡμᾶς γῆς διαιρῶν μέσος ἕστηκεν ἡμῖν ἀκλινὴς οἷόν

(φ. 145β)

11. *στενοὺς* 26. *κύλίκιοι*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τις διαλλακτὴς καὶ ταμίας καὶ διανομεὺς ἑκατέρας ἀρχῆς καὶ ἡγεμονίας, οὐκ ἐῶν ‖ οὐδέτερον μέρος ἐπιβουλεύειν θατέρῳ καὶ τῆς ἀλλήλων γῆς ἐπιβαίνειν ἀκόντων. φ. 146α

Ἐπὶ δὴ τῆς τοιαύτης μὲν γῆς, τοιαύτης δὲ χώρας, οὕτω δὲ κύκλῳ διειλημμένης ὄρεσι καὶ βουνοῖς καὶ πεδίοις καὶ τῇ πασῶν ἡμερωτάτῃ καὶ φιλανθρωποτάτῃ θαλάσσῃ τὴν οἴκησιν οἱ πατέρες λαχόντες ἡμῶν, τὸ ταύτης αὖ κάλλιστον καὶ ἀσφαλέστατον ἐκλεξάμενοι τείχεσι περιέλαβον. Γήλοφος γάρ τις οὐ μάλα μετέωρος ἐξανέχει τῆς γῆς, φάραγξί τισιν ἑκατέρωθεν ὠχυρωμένος βαθείαις καὶ τῆς ἄλλης διειργόμενος γῆς ὥςπερ τισὶ τάφροις καὶ πολλῷ τῷ μέσῳ τάφρων ἀμείνοσι. Διὰ δὲ τούτων καὶ ποταμοί τινες ἀέναοι πρὸς θάλατταν ἐκδιδοῦσι, χειμῶνος μὲν καὶ σφοδρότερον ῥέοντες ἑαυτῶν καὶ τὸ ῥεῦμα πληθύοντες, οὐδ' ἔαρος δ' ἀπολείποντες, οὐδὲ μέσου τοῦ θέρους αὐτοῦ, ὡς καὶ πολλὴν οὐ μόνον ἀσφάλειαν τοῖς ἐντὸς ἑαυτῶν χορηγεῖν, ἀλλὰ καὶ ψυχαγωγίαν ἱκανὴν καὶ χρείαν αὐτοῖς ἀποπληροῦν οὐκ εὐκαταφρόνητον. Ῥύμματά τε γὰρ καὶ καθάρματα πάντα δι' αὐτῶν ἔνεστιν ἀπόνως καὶ κούφως ποιεῖσθαι, δι' αὐτῆς ὡς εἰπεῖν τῆς ἑκάστου οἰκήματος θύρας διιόντος τοῦ ῥεύματος. Ὁ δὴ γήλοφος οὗτος, ἀπὸ θαλάττης ἀρξάμενος, ἠρέμα μὲν καὶ κατὰ μικρὸν ἐπὶ τὸ ἄναντες ἄνεισι καὶ τιμᾷ τὸ μετέωρον, προϊὼν δ' εἰς ὕψος ἀποκαθίσταται σύμμετρον, ἑκατέρωθεν ὥςπερ τῆς παρ' ἑκάτερα φαραγγώδους μᾶλλον ἀποχωρῶν γῆς καὶ πρὸς ἑαυτὸν συσφιγγόμενος καὶ κρημνώδη μὲν τὰ παρ' ἑκάτερα ἑαυτοῦ λείπων καὶ ἀποκαθιστάς, ἑαυτὸν δ' ὥςπερ στρογγύλλων εἰς μετέωρόν τινα καὶ ἐπίπεδον χῶρον καὶ ὡς ἐνῆν ἄριστόν τε πρὸς οἴκησιν καὶ πρὸς τὰς τῶν ὡρῶν κράσεις εὐαρμοστότατον. Ἐπὶ δὴ τούτου τὴν πάλαι μὲν πόλιν, νυνὶ δὲ ἀκρόπολιν ‖ ᾤκησαν δομησάμενοι, τῇ σφῶν φ. 146β τε ἀρετῇ μᾶλλον ἢ τῇ θέσει τοῦ τόπου πεπιστευκότες καὶ τειχῶν ἐχυρότητι, καίτοι καὶ τείχη περιεβάλλοντο καρτερὰ πύργων τε εἵνεκα καὶ τῆς στεφάνης αὐτῶν καὶ ἐπάλξεων καὶ πάσης τῆς τῇδε παρασκευῆς, οὐδενὸς εἶχον τὰ δεύτερα. Ἐδύναντο μὲν γὰρ ἀντ' ἄλλου τινὸς ἐρύματος σφῶν αὐτῶν τὰ δόρατα προβαλέσθαι καὶ τείχεσι χρῆσθαι τοῖς ὅπλοις ὡς πάλαι ποτὲ Λάκωνες, ὡς δὲ μηδὲν αὐτοῖς πρὸς ἀσφάλειαν φέρον ἀπείη, μηδὲ τοῦτο γοῦν τὸ μέρος τῆς κατ' αὐτάρκειαν εὐδαιμονίας ἐλλίποιεν, καὶ τοῦτο καλῶς ποιοῦντες προςεπορίσαντο. Ἐντεῦθεν Ἕλληνες ἄνθρωποι καὶ τὴν Ἑλλήνων φωνήν τε καὶ γλῶτταν προϊέμενοι καὶ τιμῶντες ἐλευθερίας τε καὶ ἰσονομίας ἀντι-

10. ὥσπέρ τισι 11. ἀένναοι 15-16. ῥύματα 32. πάλαί ποτε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΚΛΑΣΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΗΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006